λαμβάνει ξυμβαίνοντα, τὰ ἐν ἐρημίαις, τὰ ἐν οἰκουμέναις, τὰ ἐν βαρβάροις, τὰ ἐν Ἕλλησι, τὰ ἐν ἰδιώταις, τὰ ἐν ἄρχουσι, τὰ ἐν τοῖς ἀγρόταις, τὰ ἐν τοῖς ἀστικοῖς καὶ ὑπὲρ τῶν ὅλων ὁμοῦ σχετλιάζει καὶ οὐδὲν οὐδαμοῦ ὑγιὲς εἶναι ξυνίησιν. Ἀνεπόλει καὶ γὰρ ὅπως τε θῆρας κατὰ θηρῶν ἑώρα κεχαινοντας, καὶ τὰ ἄλκιμα τῶν ζῴων κατὰ τῶν ἀδρανῶν τρέχοντα καὶ ἀφειδῶς συλλαμβάνοντα καὶ ἀνηλεῶς ταῦτα διασπαράττοντα, κἀκεῖνα μηδὲν ἀδικήσαντα βιαίως ἐξαπολλύμενα, ἑρπετά τε καὶ τὰ ἑρπετῶν ἐπιχειροῦντα καὶ ὑπ' ἀλλήλων ἀναλισκόμενα. Καὶ τὰ τούτων ἐπὶ μᾶλλον κακίζειν προήγετο, βαρβάρους κατὰ βαβάρων, καθ' Ἑλλήνων τε Ἕλληνας ἢ κατ' ἐκείνων τούτους καὶ κατὰ τούτων ἐκείνους ὁρμῶντας ὡσπερεὶ βλέπων καὶ μόνον τῶν αἱμάτων οὐ λάπτοντας· τοὺς ἐν ἄστει συκοφάντας οὐδ' εἰς νοῦν ὅλως φέρειν ἤθελε, τοὺς βιαίους τῶν ἐν τέλει καὶ τούτους ἀποφράδας ὡς τινας ἀπετροπιάζετο, τἆλλα τῶν πολιτειῶν πολυσχιδῆ τε ὄντα καὶ πολλῆς ὅτι τῆς κακίας γέμοντα οὐδ' εἰς μνήμην ὅλως ἄγειν ἠνείχετο. Ἀπανταχοῦ τοίνυν ἀθρόον ὥσπερ γενόμενος καὶ ἐν ἀκαρεῖ τὴν οἰκουμένην διαδραμὼν γοερὸν ἀνεβόησε· « οὐδαμοῦ τὸ δίκαιον, οὐδαμοῦ τἀγαθόν· κακία τὰ πάντα συνέχει καὶ πλεονεξία κατακρατεῖ· τὰ γάρ τοι χερσαῖα ἀλληλοφάγα, τὰ μὲν ἀγριώτερον διαζῶντα σχεδὸν ξύμπαντα, τὰ δὲ σὺν λόγῳ βιοῦντα κἀντεῦθεν πεφηνέναι κρείττω κομπάζοντα κοινῶς ὡς ἀληθῶς ἅπαξάπαντα. Περὶ δὲ τῶν ἐναλίων τί τις ἂν καὶ φαίη ἐν ζοφωδεστέροις διαγόντων, οἷς μᾶλλον κλεπτικοί τε καὶ ἁρπακτικοὶ χαίρουσι καὶ μηδενὶ σχεδὸν ἢ τῇ ζωοφαγίᾳ διαρκουμένων; Τὰ γὰρ ὑποχθόνια οὐδ' ἂν λόγου κρίναιμι ἄξια. Ἐκτρέπομαι δὲ κἀκεῖνα τῶν ἐπιχθονίων χείρονα λογιζόμενος, ὅτι καὶ ὑπὸ ταῦτα τέτακται· εἰ γὰρ τὰ ὑπεράνω τούτων καὶ ἐν φωτὶ τοιαῦτα καθέστηκε, πλήρη πλεονεξίας, ἀδικίας, μιαιφονίας καὶ ὡς ἔπος εἰπεῖν κακίας ἐστὶν ἑστία καὶ δεινῶν οἷον συμφόρημα, ποταπά τις τὰ ἐκεῖσε λογίσαιτο; Ὁποῖα δ' αὐτὰ ἐν ἀέρι καὶ ὑπὲρ γῆν, τὰ κατ' ἐμὲ τάδε δῆλα τίθησιν· ἐπειδὴ γὰρ ἀπέπτην ἧς περ ἐγκαθιζήσας δρυὸς ἔτυχον, τὰ ἐφιπτάμενα τῶν κνωδάλων διαδιδράσκων, καὶ πρὸς ἐλεύθερον τὸν ἀέρα διέτεινα τὸ πτερόν, ὡς ἂν παντὸς καθάπαξ ἀνεθείην ἀνιαροῦ, αἰφνίδιον, προλυπήσαντά με μηδέν, ὁ χρηστὸς οὗτος στρουθὸς — τρωγλίτης, οἶμαι, πρὸς ἀνθρώπων κατονομάζεται — ἐπιπίπτει καὶ ξυλλαμβάνει καὶ καταφαγεῖν βιάζεται. Ὦ τίς ἀνάσχοιτο τῆς τοσαύτης ἀδικίας, ἢ τίς οὐ πάν-

των ὁμοῦ καταγνοίη καὶ θαρραλέως καταψηφίσαιτο καὶ ἀποστραφείη ἂν ὡς ἀπόπτυστα ἢ καὶ βδελυχθείη ὅλως ἐνδιατρίβειν αὐτοῖς; Τῷ τοι κἀγὼ ξυλληφθεὶς τρόπον τινὰ χάριν οἶδα τῷ ἀδικοῦντί με καὶ τελευτῶν ἰδοὺ τὴν φθορὰν οὐκ ἀναίνομαι· τὴν γὰρ ζωὴν κατάφοβον εἶχον καὶ περιδεᾶ τὴν ἀπόλαυσιν».

Ἀλλ' εἰ τοιαῦτα καὶ τέττιγι φιλοσοφεῖν ὁ μῦθος διδάσκει κακοπραγήσαντι, ἄνθρωποι ὄντες ἡμεῖς καὶ λόγον αὐχοῦντες καὶ νοῦν ἔχοντες καὶ τὰ μεγάλα, φαίην, ἐλπίζοντες οὐ τὴν τῶν πραγμάτων ἀλήθειαν μετακαλεσόμεθα σύμβουλον, ὡς ἂν τὴν τῶν ὅλων ἀστασίαν ἐπιγνῶμεν καὶ καταγνῶμεν πάντων ὁμοῦ καὶ ὅλῳ ποδὶ τῶν ἐνθάδε ἀποπηδήσωμεν, ἢ τό γε δὴ δεύτερον οὕτω διατεθῶμεν, ὥστ' ἐπιπολῆς καὶ ἀσχέτως αὐτῶν ἅπτεσθαι, ὡς ἔμοι γε δοκεῖν, εἰ μὴ ἀποσχώμεθα τῶν τῇδε, τοῦ μηδενὸς τιμήσαντες ἀπαξάπαντα καὶ τῶν ἐν οὐρανοῖς ἀντιποιησώμεθα ἢ γοῦν — ἴσως γάρ τινες καὶ φύσεως δεσμοῖς συμπεπέδηνται, περιφρονοῦντες τὰ πρὸς τὸ παρόν τε καὶ τήμερον — διαζῶμεν καὶ ὅπως ἄν γε φέροιντό τε καὶ φέροιεν, φεροίμεθά τε καὶ φέροιμεν καὶ ἁπλῶς ὡς παρερχόμενά τε καὶ μεταπίπτοντα λογιζοίμεθα καὶ ὅ τι περ ἡδύ, ὅ τι περ λυπηρόν, ἀβούλητον ἅπαν ἢ ἐφετόν, μικροῦ ποιοῖμεν τοῦ λόγου καὶ μηδεμιᾶς τὸ παράπαν φροντίδος ἄξια κρίνοιμεν, οὐχ ὅπως τεττίγων τῶν μουσικῶν ἀλλὰ καὶ αὐτῶν ἂν ἐλεγχθείημεν τῶν λίθων ἀναισθητότεροι;

55. Πρός τινα τῶν ἑταίρων.

(περὶ τοῦ 4 μύθου).

Πέπλασταί μοι ὁ μῦθος νέῳ τὴν ἡλικίαν ὄντι καὶ κατὰ νέους ἔτι διάγοντι καὶ ἄλλα μὲν λέγοντι, οὐκ ἄλλα δ' ἐνὶ φρεσὶ κεύθοντι — τοῦτο γάρ μοι καὶ μόνον σύντροφον ἀρχῆθεν ἀγαθὸν σύνοιδα, τὸ ἁπλοῦν τοῦ ἤθους καὶ ἄδολον κἀν τοῖς πᾶσι μονότροπον — ἀλλ' ἄλλα μὲν εἰς νοῦν τε βαλλομένῳ καὶ τῆς γλώττης προφέροντι, ἄλλα δὲ ἐνεργοῦντι καὶ ὧν ἀπέτρεπον τούτοις ἁλισκομένῳ καὶ τοῖς ἐμαυτοῦ λόγοις περιπετεῖ γινομένῳ καὶ τὸν αὐτόθεν ἔλεγχον οὐκ ἀποδιδράσκοντι. Τῷ τοι καὶ ἐκδοθεὶς τισι τῶν ἐπιτηδείων καὶ μὴ ἀποδοθεὶς ἐκεῖθεν, μήτε μὴν ἀναζητήσεως ἀξιωθεὶς ἔκτοτε οὐκ οἶδ' ὅ τι καὶ γέγονε· νῦν δ' ἀλλ' εἰς μνήμην ἐπανιὼν ἐκ νέου πάλιν συντέθειται, τάχα δέ μοι καὶ κρειττόνως ἠκρίβωται, διὰ πλείστου τε ὧν μοι τυγχάνει καὶ οὐχ ὥσπερ δὴ τότε ἐξείργασται μέν, περιπεφρόνηται δέ. Ὁ γάρ μοι χρόνος εἰ καὶ μὴ πολὺς ἄγαν — τέτταρας γὰρ ἔτι πρὸς ταῖς τριάκοντα περιόδους ἡλιακὰς ἥμειψα — ἀλλ' οὖν γε πλείστων ἐγεγόνει διδάσκαλος καὶ ἄντικρυς ἐπαληθίζοντά μοι τὰ τοῦ μύθου παρέστησε. Τῷ τοι καὶ οὐκ ἐνίοις τῶν συνήθων, πᾶσι δ' ὁμοῦ κοινώσασθαι τουτονὶ βούλομαι, κοινὸν ὥσπερ ἐπικρίνων ἐπὶ τοῖς ἀβουλήτοις καὶ τυχηροῖς παραμύθιον ἢ μᾶλλον ἀρίστην ὑποθήκην καὶ οὐχ ἧττον καθαρᾶς διαθέσεως ἢ ἐξ ἀκριβοῦς ἐπιγνώσεως, ὅπως τε δεῖ περὶ τῶν ἐνταῦθα φρονεῖν καὶ ὅπως τοῖς ἐνθάδε συναναστρέφεσθαι ἢ καὶ τὰ πάντα σχεδὸν ἀποστρέφεσθαι, ἅτε μηδὲν ἀληθές, μηδὲν βέβαιον, μηδὲν ἔχοντα μόνιμόν τε καὶ στάσιμον. Ἐπεὶ δὲ οἶδα καὶ σέ, ὦ φίλ' ἑταῖρε, οὐκ ὀλίγα τῶν ἐκ τύχης ὑποστάντα καὶ ὡς γέ μοι πολλάκις ἐκοινολογήσω τέλεον ἀπειπόντα καὶ ἀπαράκλητα δυσφοροῦντα, παραμυθοῦμαι τῷ μυθικῷ τῷδε πλάσματι καὶ ὑποτίθεμαι μὴ ἀγενέστερον ἐντόμου πρὸς τὰ συμπίπτοντα δυσχερῆ φαίνεσθαι, ἀλλ' ἄνδρα τῇ ἀληθείᾳ καὶ τῷ ὄντι ζῷον λογικὸν ἄνθρωπον παντὶ τῷ παραπίπτοντι ἐπιδείκνυσθαι.

ΠΕΡΙ ΣΥΝΟΙΚΙΣΜΟΥ ΤΩΝ ΙΩΑΝΝΙΝΩΝ

ΜΕΤΑ ΤΗΝ

ΦΡΑΓΚΙΚΗΝ ΚΑΤΑΚΤΗΣΙΝ ΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΥΠΟ

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΥ ΚΕΡΑΜΕΩΣ

Περὶ τῆς ἀρχαιότητος τῶν Ἰωαννίνων πρῶτος κατ' ἐμὲ ἔγραψεν εὔστοχον σημείωσιν ὁ Ἀνδρέας Μουστοξύδης (*Ἑλληνομν.* σ. 466-467), τὴν ὁποίαν ὁ Ἀραβαντινὸς παρέδραμε νὰ χρησιμοποιήσῃ καταλλήλως, βασισθεὶς εἰς γνώμας ἁμαρτύρους (*Χρονογραφία τῆς Ἠπείρου* Β', σ. 112-113). Ἐνταῦθα δὲν πρόκειται νὰ ἐπαναλάβω τὴν σημείωσιν τοῦ Μουστοξύδου, ἀλλὰ θὰ περιορισθῶ εἰς τὴν δήλωσιν γε-

γονότος ὅπερ παρουσιάζει ἀξιόλογόν τι ἔγγραφον τοῦ ἔτους 1232 καὶ τὸ ὁποῖον διὰ πρώτην φορὰν δημοσιεύω ἐν τῷ παρόντι Δελτίω.

Ὁ καθηγητὴς Σπυρίδων Λάμπρος ἐν τοῖς συγγράμμασι τοῦ Μιχαὴλ Ἀκομινάτου τοῦ Χωνιάτου κατεχώρισεν ἐπιστολάς τινας αὐτοῦ πρὸς τὸν μητροπολίτην Ναυπάκτου Ἰωάννην (τ. Β', σ. 281, 330, 339, 350). Μετὰ τὴν ἔκδοσιν ταύτην ἀνεκαλύφθη ὁ κῶδιξ Ἰσαὰκ τοῦ Μεσοποταμίτου, ὅστις περιέχει ἐπιστολὰς τοῦ Ναυπάκτου Ἰωάννου πρὸς τὸν Χωνιάτην καὶ πλεῖστα ἄλλα ἔγγραφα ἐπισήμου χαρακτῆρος αὐτοῦ τε καὶ ἄλλων προσώπων μιᾶς καὶ τῆς αὐτῆς ἐποχῆς. Ἅπαντα δὲ τὰ ἔγγραφα ταῦτα ἀναφέρονται εἰς τὴν ἐσωτερικὴν ἱστορίαν τοῦ δεσποτάτου τῆς Ἠπείρου καὶ τῆς αὐτοκρατορίας τῆς Θεσσαλονίκης. Ὁ σοφὸς ῥῶσσος καθηγητὴς Β. Γ. Βασιλιέβσκης περιέγραψεν ἤδη τὸν κώδικα τοῦτον λεπτομερῶς (ἐν Πετρουπόλει 1885) ἐν ἰδιαιτέρῳ φυλλαδίῳ, νῦν δ' ἑτοιμάζεται νὰ ἐκδώσῃ καὶ τὰ ἔγγραφα αὐτὰ ἐν συνόλῳ μετὰ γενικῆς μελέτης περὶ τῆς χρονικῆς περιόδου εἰς ἣν ἀναφέρονται. Ἕτερα ἔγγραφα τοῦ Ναυπάκτου Ἰωάννου ἀπόκεινται ἐν τῷ 131 βαροκκικῷ κώδικι (*Coxe*, Catal. cod. mss. biblioth. Bodl. σ. 223-224), τῶν ὁποίων ἡ ἔκδοσις εἶναι λίαν ποθητή, πρὸς συμπλήρωσιν τῶν ἡμετέρων γνώσεων περὶ τῆς ἐποχῆς τοῦ αὐτοκράτορος Θεσσαλονίκης Θεοδώρου τοῦ Δούκα. Τέλος δὲ ἀνεκάλυψα καὶ ἐγὼ τρίτον κώδικα περιέχοντα παρόμοια ἔγγραφα τοῦ Ναυπάκτου Ἰωάννου καὶ ἄλλα τῆς ἐποχῆς αὐτοῦ. Ἐκ τούτων τὰ πλείονα εἶναι ἤδη γνωστὰ ἐκ τοῦ ἀρχαιοτέρου ἀπογράφου, ὅπερ ἐκδίδει ὁ κ. Βασιλιέβσκης. Ὅσα δὲ τῶν ἐγγράφων τῆς συλλογῆς μου δὲν ὑπάρχουσιν οὔτε ἐν τῷ κώδικι τοῦ Μεσοποταμίτου οὔτε ἐν τῷ βαροκκικῷ θέλουσι καταχωρισθῆ ἐν τῷ δευτέρῳ τόμῳ τῶν Ἀναλέκτων τῆς ἱεροσολυμιτικῆς σταχυολογίας μου. Ὥστε ἐντὸς μικροῦ χρονικοῦ διαστήματος οἱ φιλίστορες θὰ ἔχωσιν ἀνὰ χεῖρας κείμενα πρωτοφανῆ μιᾶς καὶ τῆς αὐτῆς ἐποχῆς, διαφωτίζοντα καὶ γεγονότα καὶ ὀνομασίας μεσαιωνικὰς τόπων καὶ οἰκογενειῶν τῆς Στερεᾶς Ἑλλάδος, τῆς Ἠπείρου καὶ τῆς Μακεδονίας.

Ἐκ τῶν παρ' ἐμοὶ ἐγγράφων τοῦ μητροπολίτου Ναυπάκτου δημοσιεύω νῦν μόνον τὸ κατωτέρω, τὸ ἀναφερόμενον εἰς τὸν συνοικισμὸν τῆς πόλεως Ἰωαννίνων. Ὅτι τὰ Ἰωάννινα πρὸ τῆς συστάσεως τοῦ δεσποτάτου τῆς Ἠπείρου δὲν εἶχον πολλὴν σημασίαν, μᾶς εἶναι ἤδη

γνωστὸν ἐκ τῶν ὀλίγων περὶ αὐτῶν εἰδήσεων πρὸ τοῦ ἔτους 1204 καὶ ἐκ τῆς μνείας ὅτι ἐτέλουν ἐπισκοπὴ ὑποκειμένη τῷ μητροπολίτῃ Ναυπάκτου. Ἀλλὰ καὶ τὸ ἔγγραφον αὐτὸ ὁμολογεῖ τοῦτο, χαρακτηρίζον τὰ Ἰωάννινα ὡς «πολίδιον». Τὸ ἔγγραφον ἐπικυροῖ νῦν εἴδησιν γνωστὴν μόνον ἐκ τῆς Γεωγραφίας τοῦ μητροπολίτου Μελετίου (τμῆμα ιη', κεφ. γ', § 10), ὅτι δηλαδὴ τὰ Ἰωάννινα ἐτείχισε Μιχαὴλ Δούκας ὁ σεβαστοκράτωρ. Ἄγνωστον πόθεν παρέλαβε τὴν εἴδησιν ταύτην ὁ Μελέτιος. Ἡ μαρτυρία αὐτοῦ ἀποδείκνυσι καὶ πάλιν ὅτι ὁ σοφὸς ἐκεῖνος ἱεράρχης ἔγραφε πολλὰς ἀληθείας καὶ ὅτι τὸ βιβλίον αὐτοῦ οὔτ' ἐπαλαίωσεν οὔτε θὰ μείνῃ ποτὲ ἄχρηστον παρ' ἡμῖν, ὁπόταν ἀπείρων ἐν αὐτῷ μοναδικῶν εἰδήσεων ἀγνοοῦμεν ἄλλας πηγάς.

Ἀνάλυσις τοῦ ἐγγράφου εἶναι περιττή. Σημειώσεως δὲ ἄξια εἶναι μόνον τὰ ἑπόμενα πρὸς ὁδηγίαν τῶν ἀναγνωστῶν. Ὁ συνοικιστὴς τῆς πόλεως εἶναι Μιχαὴλ ὁ χρηματίσας πρῶτος δεσπότης Ἠπείρου, Αἰτωλίας καὶ Ἀκαρνανίας ἀπὸ τοῦ ἔτους 1204 μέχρις ἔτους 1214· ἦτο δὲ νόθος υἱὸς Ἰωάννου σεβαστοκράτορος τοῦ χρηματίσαντος πρὸ τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Λατίνων διοικητοῦ τῆς Ἠπείρου καὶ Θεσσαλίας. Ὁ δὲ Θεόδωρος Δούκας, ὁ δι' ὁρισμοῦ αὐτοῦ στηρίξας τὰ προνόμια τῶν ξένων οἰκιστῶν τῶν Ἰωαννίνων, εἶναι ἀδελφὸς τοῦ Μιχαὴλ καὶ διάδοχος αὐτοῦ ἐν τῷ δεσποτάτῳ τῆς Ἠπείρου ἀπὸ τοῦ 1214. Οὗτος ἐπηύξησε μεγάλως τὰ ὅρια τοῦ κράτους του καὶ ἀπὸ τοῦ 1222 καὶ ἑξῆς ὠνομάζετο αὐτοκράτωρ τῆς Θεσσαλονίκης. Τὸ δ' ἔγγραφον τοῦ μητροπολίτου Ναυπάκτου Ἰωάννου, εἰς οὗ τὴν δικαιοδοσίαν ὑπήγοντο τὰ Ἰωάννινα, εἶναι ἁπλῶς ἐπικυρωτικὸν τοῦ βασιλικοῦ ὁρισμοῦ, ὅστις διατελεῖ ἔτι ἄγνωστος. Ἴσως ἀνακαλυφθῇ ποτε καὶ οὗτος ἐν παρερριμμένῳ τινὶ χειρογράφῳ. Κατὰ τὸ ἔγγραφον ὁ βασιλεὺς Θεόδωρος Δούκας ἦτο ἐν τοῖς ζῶσιν ὁπότε συνέταττε τὴν ἐπικύρωσιν τοῦ ὁρισμοῦ αὐτοῦ ὁ μητροπολίτης Ναυπάκτου. Ἡ πέμπτη ἰνδικτιὼν συμπίπτει τρὶς κατὰ τὴν περίοδον τοῦ Θεοδώρου, τῷ ἔτει 1217, τῷ 1232 καὶ τῷ ἔτει 1247. Πιθανώτερον νομίζω ὅτι τὸ ἔγγραφον συνετάχθη τῷ 1217, βασιζόμενος εἰς τὴν διάρκειαν τοῦ βίου τοῦ μητροπολίτου Ἰωάννου. Σημειωτέον ἔτι ὅτι τὸ ἔγγραφον (ἐπειδὴ ὀνομάζει τὸν Μιχαὴλ «πολιστὴν καὶ σωτῆρα πολιοῦχον τῶν Ἰωαννίνων») ἐξηγεῖ πως τὴν ἀφορμὴν δι' ἣν ἡ πόλις αὕτη ἦτο ἀνατεθειμένη εἰς τὸν ἀρχάγγελον Μιχαὴλ κατὰ τὸν χρυσό-

βουλλον λόγον τοῦ αὐτοκράτορος Κωνσταντινουπόλεως Ἀνδρονίκου Β', ἂν καὶ τὸ ἔγγραφον τοῦτο (ἴσως ἐξ ἀντιπαθείας τῆς βυζαντινῆς αὐλῆς πρὸς τὴν οἰκογένειαν τῆς δεσποτείας Ἠπείρου ἢ καὶ ἐκ διαστροφῆς τῆς ἀληθείας) βεβαιοῖ ὅτι ὁ ἀρχάγγελος Μιχαὴλ ἦτο πολιστὴς καὶ πολιοῦχος τῶν Ἰωαννίνων «ἐκ μακρῶν τῶν χρόνων καὶ πρὶν ἢ καὶ πόλισμα τὸν χῶρον εἶναι» (Acta et diplomata τ. Ε', σ. 78).

Σημείωμα περὶ οἰκήσεως τόπου.

Ἐγένετο μὲν ἐν ταῖς ἡμέραις τοῦ Νῶε κατακλυσμὸς πολυήμερος τῶν ὑδάτων καταφορᾷ, ἐγεγόνει δὲ καὶ ταῖς νῦν ἡμέραις οὐκ ἐξ ὑδάτων κατακλυσμὸς καὶ κλυδωνισμὸν ἐπήγαγε παντὶ χριστολάτρει λαῷ καὶ τὴν περίβλεπτον καὶ βασιλίδα τῶν πόλεων ἁπασῶν τοῦ περιγείου παντὸς ὥσπερ τινὰ (1) ναῦν συνετάραξε, πολυφλοίσβοις κυματοτρόφου ὑγρᾶς βασανιζομένην δυσπνόοις πνοαῖς· οὐκ ὀλίγαι γὰρ ἐθναρχίαι αἱμοχαρεῖς μέγα γαυριῶσαι τοῖς ὅπλοις καὶ ἐπ' αὐτοῖς οὐ μικρῶς βρενθυόμεναι καὶ ὑψαυχενοῦσαι ἐπεισφρήσασαι ταύτῃ πυρὸς κατάβρωμα — φεῦ — τινὰ τῶν ταύτης μερῶν πεποιήκασι καὶ τοὺς αὐτῶν οἰκήτορας παντελεῖ ἀπωλείᾳ παραδεδώκασι. Ἦν γὰρ ἰδεῖν τότε τινὰς ἐξ αὐτῶν ὑπὸ μιαιφόνων χειρῶν ἀναιρεθέντας ἀνηλεῶς, ἑτέρους (2) δὲ καιρίας πληγὰς λαβόντας κειμένους καὶ ἔτι σπαίροντας, ἄλλους δὲ ἁπασῶν τῶν ὑπάρξεων γυμνωθέντας, ὡς ὁ προπάτωρ πρόπαλαι Ἀδάμ, τοῦ πτώματος γεγυμνωμένους, πενθοῦντας καὶ στένοντας — τὸ τοῦ Προφήτου — ὠθουμένους ἐξ αὐτῆς ἐκπορεύεσθαι. Οὐ μόνον δὲ τοῖς τοῦ Κωνσταντίνου γέγονε τοῦτο ἀλλὰ καὶ τοῖς ἐν πάσαις ταῖς κατὰ τὴν Ἀσίαν καὶ δύσιν σύν γε μεσημβρίᾳ καὶ ἄρκτῳ χώραις τε καὶ πόλεσι. Καὶ πάντες οἱ ἐξ αὐτῶν περιπλανώμενοι κατοικίας ἀνεψηλάφων, ὥσπερ (3) τι σμῆνος μελισσῶν ἀδινάων τοῦ σίμβλου αὐτῶν ἀναχυθὲν καὶ ἀπορρυέν. Ἀλλὰ νέου Νῶε ἐνέτυχόν τινες ἐξ αὐτῶν τοῦ ἐν μακαρίᾳ τῇ λήξει μεταστάντος τῶν ὧδε, τοῦ δουκὸς κυροῦ Μιχαὴλ τοῦ περιποθήτου υἱοῦ τοῦ περιβοήτου καὶ ἀειμακαρίστου σεβαστοκράτορος, ὡς ἄλλην σώτειραν κιβωτὸν τὴν ἐν τῷ κατακλυσμῷ παντοίων γενῶν ἀπόμοιραν διασώσασαν τὸ τῶν Ἰωαννίνων τεκτηναμένου πολίδιον καὶ εἰς μόρφωσιν κάστρου αὐτὸ ἀνεγείραντος καὶ ἐν αὐτῷ αὐτοὺς ἐνοικήσαντος. Καὶ ἑνὶ ἑκάστῳ τούτων παρὰ τοῦ ἥρωος ἐκείνου τοῦ κεκαλ-

(1) Κῶδ. *ὥσπέρ τινα*.— (2) *ἑτέρας*.— (3) *ὥσπέρ*.

λωπισμένου πάσαις ταῖς ἀρεταῖς καὶ περιδεξίου ἅπασι τόποι κατοικίας καὶ μοναὶ κατ' ἀξίαν ἐδόθησαν, ἔνθα καὶ μέχρι τοῦ νῦν ἐπαναπαυόμενοι καταμένουσιν, ἐκείνου μὴ ἐπιλαθόμενοι· εἰ μὴ γὰρ ἦν ἐκεῖνος, οὐ μόνον ὁ σποράδην τῶν ξένων σύλλογος ὁ ἐνταῦθα συναθροισθεὶς ἀφανείᾳ παραδοθῆναι ἔμελλεν ἂν τῇ ἐπιδρομῇ τῶν ἐθνῶν, ἀλλὰ καὶ οἱ αὐτόχθονες ἄποικοι τῆς πατρίδος αὐτῶν ἐγένοντο, εἴγε τέως τῆς ἀνδροφόνου ἐθνικῆς χειρὸς ἐκδραμεῖν ἴσχυσαν. Ταύτῃ τοι καὶ πολιστὴν καὶ σωτῆρα πολιοῦχον τὸν μέγαν ἐκεῖνον ὁ ἐνταῦθα διασωθεὶς λαὸς ἀνακηρύττει καὶ ἐπιγράφεται, κἄν τινες τῶν ἐγχωρίων μισόκαλοι πρὸς τὸ τῆς ἀληθείας φῶς τοὺς ὀφθαλμοὺς μύουσιν ὀρθῶς βλέπειν μὴ θέλοντες· οἳ καὶ πρὸς τὸν εὐεργέτην ἀχάριστοι ἀπαναίνονται τοῦτο, σφετεριζόμενοι καὶ διαμελίζοντες τοὺς ἐν τῷ κάστρῳ τόπους καὶ ἐκδιῶξαι ἐπιχειροῦσιν οὓς ἐκεῖνος ὁ μακάριος ἀνὴρ ἐκ τῶν ἀναγκῶν σωσάμενος προσεκάθισεν. Οὐ μόνον δὲ τούτους ἀλλὰ καὶ τοὺς προσγενῶν καὶ παίδων αὐτῶν, οὓς τὸ τοῦ θανάτου δρέπανον ἐξεθέρισεν, ὧν τὰ κῶλα ἐν τῷ κάστρῳ ἐτέθησαν, καὶ ταῦτα ἀνορύξαι καὶ ἀπορρῖψαι ἐπαπειλοῦσι, λέγοντες μὴ εὑρέσθαι παρ' ἐκείνου τὴν σωτηρίαν τοῦ μακαρίου ἀνδρός, ἀλλὰ διὰ τῆς συνέσεως καὶ τῆς ἰσχύος αὐτῶν, οἷά ποτε ἐληρώδει καὶ ὁ Λῖας ἐκεῖνος, ὁπηνίκα τοῦ πλοίου ῥαγέντος ἐν τῇ θαλάσσῃ καὶ μιᾶς σανίδος ἀψάμενος ἀσινὴς ἐτηρήθη καὶ ἐπὶ πέτραν ἔστη. Ἀλλ' ἐρρέτωσαν οἱ τοιαῦτα ληροῦντες· ἀναγκαῖον γάρ ἐστι καὶ πάνυ ἀναγκαῖον ἕκαστον αὐτῶν ἀδιασείστως μένειν ἐν ᾧ τόπῳ ἐτάχθη παρὰ τοῦ σωτῆρος ἐκείνου καὶ ἀξιομακαρίστου ἀνδρὸς καὶ ἀδιαλείπτως μνείαν ἐκείνου ποιεῖν, καθὼς καὶ προεστηρίχθη τοῦτο διὰ προσκυνητοῦ ὁρισμοῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως κυροῦ Θεοδώρου τοῦ Δούκα. Τοιγαροῦν καὶ ἡ ἡμετέρα εὐτέλεια δίκαιον εἶναι βοᾷ θέλοντας ἡμᾶς καὶ μὴ θέλοντας ἀπαραθράύστους τηρεῖσθαι τοὺς βασιλικοὺς ὁρισμοὺς καὶ μηδένα ἐν τῷ τῶν Ἰωαννίνων κάστρῳ γονικάρχην ἀναγορεύεσθαι ἀλλ' ἐκεῖνον τὸν ὑπὲρ τοῦ τοιούτου κάστρου τὴν ψυχὴν αὐτοῦ τιθέμενον καὶ ἐκ τῶν χειρῶν τῶν ἐθνῶν ἐκσπάσαντα τοῦτον καὶ σκεπασάμενον πάντας τοὺς ἐν αὐτῷ οἰκοῦντας καὶ δι' ἐκεῖνον ἔχειν τὰς οἰκήσεις ἀναλογίζεσθαι καὶ ἀντὶ φόρου τῆς κατοικίας τῶν οἰκημάτων αὐτῶν μνήμην ἀεὶ ποιεῖσθαι αὐτοῦ. Διά τοι τοῦτο καὶ ἡμεῖς τὴν τοιαύτην διάγνωσιν πεποιήκαμεν, τῇ ἡμετέρᾳ συνήθει ὑπογραφῇ αὐτὴν ἐπισημηνάμενοι. Μηνὶ Μαρτίῳ ἰνδικτιῶνος ε' (=1217).

ΠΑΤΡΙΑΡΧΙΚΟΝ ΕΓΓΡΑΦΟΝ

ΠΕΡΙ ΜΟΝΗΣ ΤΩΝ ΙΩΑΝΝΙΝΩΝ

ΥΠΟ

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΥ ΚΕΡΑΜΕΩΣ

Τὸ ἑπόμενον ἔγγραφον τοῦ οἰκουμενικοῦ πατριάρχου Μητροφάνους Γ' ἐγράφη διὰ τὴν παρὰ τὰ Ἰωάννινα μονὴν τῆς Θεοτόκου τοῦ Ἀρχιμανδρίτου ἐν ἔτει 1571. Ὁ Ἀραβαντινὸς σημειοῖ μεταξὺ τῶν ἐπ' αὐτοῦ σῳζομένων ἐν Ἰωαννίνοις ναῶν πρῶτον τὸν τοῦ « Ἀρχιμανδρείου τιμώμενον εἰς μνήμην τῆς κοιμήσεως τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου, μοναστήριον ἀρχαιότατον καὶ σεβάσμιον, οὗ πλησίον κεῖνται τὰ ἀρχαιότατα τῶν Ἰουδαίων μνήματα». Κατωτέρω δὲ γράφει ὁ αὐτὸς ὅτι «κατηδαφίσθη... ὁ τοῦ Ἀρχιμανδρείου τὸ ἔτος 1852, ἵνα ἀνακαινισθῇ, ὡς καὶ ἀνακαινίζεται εὐρυχωρότερος καὶ βέλτιστος παντὸς ἄλλου ναοῦ τῆς πόλεως» (1). Τὸ ἔγγραφον δ' ἔχει οὕτω κατ' ἀντίγραφον «τοῦ μεγάλου διερμηνέως» Ἀλεξάνδρου Μαυροκορδάτου, ὅπερ διεσώθη ἐν ἄλλῳ ἀντιγράφῳ τοῦ παρελθόντος αἰῶνος (2).

« Ὁ τῶν ἐκκλησιῶν διδάσκαλος ὁ ἕως τρίτου οὐρανοῦ ἀναβεβηκὼς καὶ ἀκούσας ἄρρητα ῥήματα, κἀκεῖθεν ἀρυσάμενος καὶ ἐκχέας εἰς πάντα τὰ ἔθνη τὴν θείαν διδασκαλίαν τοῦ εὐαγγελίου, πρὸς Τίτον γράφων οὕτως ἔφη· «κατάστησον κατ' ἐκάστην ἐκκλησίαν πρεσβυτέρους καὶ ἡγουμένους, ὡς ἐγώ σοι διεταξάμην» (α', 6). Τῇ τοιαύτῃ οὖν διδασκαλίᾳ ἑπακολουθοῦσα καὶ ἡ μετριότης ἡμῶν ἐπεὶ ἀνεδέξατο τῆς δεσποτικῆς πατριαρχικῆς θείας μεγαλειότητος καὶ τὴν ἐξαρχίαν τῶν κατὰ τὴν ἑνορίαν καὶ ἐπαρχίαν ἡμῶν πάντων τῶν δικαίων αὐτῆς

(1) Π. Ἀραβαντινοῦ, Χρονογραφία τῆς Ἠπείρου τ. Β', σελ. 244.
(2) Ἑλλην. Φιλολογ. Συλλ. κῶδ. 11, φύλ. 16-17.

διὰ τῆς πατριαρχικῆς περιωπῆς, κατέστησε καὶ προεχειρίσατο μὲν ἀνὰ πάσας τὰς ἐπαρχίας καὶ μητροπόλεις ποιμένας οἰκείους καὶ ἀρχηγοὺς ἐπιβλέπειν ὀρθῶς καὶ διατηρεῖν καὶ διδάσκειν ὅ ἀνεδέξαντο τοῦ Χριστοῦ ποίμνιον καὶ παραδοῦναι αὐτὸ ἐν χερσὶ θείαις καθαρῶς, ὡς ὑπέσχοντο. Ἀλλ' οὖν γε δὲ χρέος ἔχει ἀπαραίτητον κατὰ χρονιαῖον καιρὸν καὶ σωματικῶς ἐν αὐταῖς ἀπέρχεσθαι καὶ πνευματικῶς διορθῶσαι τὰς κατὰ καιρὸν γινομένας παραδρομὰς καὶ τὰ ἀπαύστως τοῖς χριστιανοῖς παρὰ τοῦ διαβόλου ἐπεμβαίνοντα σκάνδαλα, καὶ ἁπλῶς εἰπεῖν παντοίαν ἐκκλησιαστικὴν ὑπόθεσιν διορθώσεως δεομένην νομίμως καὶ κανονικῶς θεωρῆσαι καὶ εἰς τὸν τοῦ δικαίου τόπον ἐγκαταστῆσαι, ἵνα τὰ πάντα καλῶς καὶ νομίμως δεξάγωνται ἐν ἁπάσῃ τῇ ἐπαρχίᾳ ἡμῶν, ὡς ὁ θεῖος διδάσκαλος ἡμῶν διωρίσατο. Διὸ δὴ βοηθείᾳ καὶ δυνάμει τοῦ παντοδυνάμου Θεοῦ τὴν τῆς δύσεως ἁπάσης καὶ Πελοποννήσου ὁδοιπορίαν ποιησαμένη καὶ τὰ ἐκεῖσε καλῶς καὶ νομίμως κυβερνησαμένη, ὡς λόγον ἀποδώσουσα τῷ Θεῷ, ἦλθε καὶ ἐν τῇ ἁγιωτάτῃ τῶν Ἰωαννίνων μητροπόλει (1), ἵνα καὶ τὰ ἐκεῖσε ὡς δεῖ διορθώσηται καὶ κυβερνήσῃ καὶ τὰ δεόμενα ἐπισκέψεως εἰς τὸν τοῦ δικαίου τόπον ἀποκαταστήσῃ. Ἔνθεν τοι πρὸς τοῖς ἄλλοις παραστὰς ἐνώπιον ἡμῶν καὶ ὁ ἐκ τοῦ ἡμετέρου πατριαρχικοῦ σταυροπηγίου τῆς ὑπεραγίας ἡμῶν δεσποίνης Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τοῦ Ἀρχιμανδρίτου, τοῦ ὄντος ἐν τῷ Ἐμπορίῳ ἔξω τῶν Ἰωαννίνων, δηλαδὴ παπᾶ Δημήτριος Καρατζᾶς, οὐ μικρῶς ἠξίωσε καὶ παρεκάλεσεν ἡμᾶς, ἵνα ὡς ἔχων κτιτορικὸν δίκαιον ψάλλῃ μόνος ἐν αὐτῷ καὶ καρποῦσθαι τὰ ἐρχόμενα εἰσοδήματα καὶ δικαιώματα μόνος καὶ μηδεὶς ἄλλος τολμήσῃ προσεγγίζειν καὶ ἐπηρεάζειν αὐτόν, ἀλλ' ὡς νέος κτήτωρ αὐτὸς ἔχῃ τὴν ἅπασαν ἐξουσίαν καὶ διοίκησιν τοῦ αὐτοῦ σταυροπηγίου καὶ παρέχῃ καὶ πρὸς ἡμᾶς τὸ αὐτὸ χαράτζιον, ἀνεπηρέαστος μένων παρὰ πάντων. Καὶ ἡμεῖς δεξάμενοι τὴν αὐτοῦ αἴτησιν τότε ὡς εὔλογον, ἐπεὶ καὶ γράμματά τινα εἴδομεν τῶν πρὸ ἡμῶν πατριαρχῶν δικαιοῦντα κτητορικόν τι δίκαιον πρὸς αὐτόν, δεδώκαμεν τὴν ἅπασαν ἐξουσίαν καὶ ἄδειαν τοῦ αὐτοῦ σταυροπηγίου πρὸς αὐτὸν μόνον, ἵνα αὐτὸς μόνος ψάλλῃ ἐν αὐτῷ καὶ μηδεὶς ἄλλος

(1) Τῆς περιοδείας ταύτης τοῦ πατριάρχου Μητροφάνους Γ' ἄλλας μαρτυρίας ἐσημείωσα ἐν τόμῳ ΙΖ', σελ. 52, τοῦ Ἑλλην. Φιλολογ. Συλλόγου καὶ ἐν τῷ Ἀρχαιολογικῷ παραρτήματι τοῦ αὐτοῦ τόμου σελ. 21.

τῶν λοιπῶν ἱερέων, ὡς ἐφάνη διὰ τῶν τότε φανέντων γραμμάτων κτήτωρ ἐν αὐτῷ. Ἐπειδὴ δὲ ἤδη ὁ κατὰ τόπον ἱερώτατος μητροπολίτης Ἰωαννίνων κῦρ Δανιήλ (1), ὁ ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, σωματικῶς ἐνταῦθα εἰς τὴν τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν παραγενόμενος καὶ τὰ πάντα σαφῶς καὶ καθαρῶς δηλώσας ἡμῖν καὶ γράμματα παλαιγενῆ τῶν μακαρίων καὶ ἀοιδίμων πατριαρχῶν δείξας, παρέχοντα ἄδειαν καὶ ἐξουσίαν ψάλλειν ἐν αὐτῷ τῷ ἡμετέρῳ πατριαρχικῷ σταυροπηγίῳ οὐ μόνον τὸν ἔχοντα τὸ κτητορικὸν δίκαιον ἀλλὰ καὶ πάντας τοὺς ἐκ τῆς αὐτῆς ἐνορίας ἀξιωθέντας ἱερεῖς, καὶ ἐξίσου μερίζειν τὸ ἐρχόμενον εἰσόδημα καὶ δικαίωμα, καὶ ὅπως οἱ πρὸ τούτου ἀρχιερεῖς εἶχον τὴν ἐπιμέλειαν τούτου τοῦ σταυροπηγίου, διὰ τὸ εἶναι τὴν ἐνορίαν αὐτοῦ ἐπαρχίαν αὐτῶν, πληροῦντες μόνον τὸ χαράτζιον αὐτοῦ πρὸς τὴν τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν καὶ μνημονεύοντες ἐν αὐτῷ τὸ τοῦ κατὰ καιρὸν πατριάρχου ὄνομα, καὶ ταῦτα πάντα πιστώσας ἡμᾶς δι' ἀποδείξεων καθαρῶν καὶ ἀξιώσας τὸ ἀπὸ τοῦδε οὕτω διοικεῖσθαι τὸ αὐτὸ σταυροπήγιον, ὡς καὶ πρότερον, γράφοντες νῦν γνώμῃ συνοδικῇ ἀποφαινόμεθα καὶ ἐν ἁγίῳ διοριζόμεθα Πνεύματι, ἵνα ὁ ῥηθεὶς ἱερώτατος μητροπολίτης Ἰωαννίνων ἔχῃ τὴν ἐπιμέλειαν καὶ φροντίδα τοῦ ῥηθέντος σταυροπηγίου, ὡς καὶ οἱ πρὸ αὐτοῦ ἀρχιερεῖς, καὶ ἐξουσίαν ἔχῃ ἱερουργεῖν ἐν αὐτῷ ἀκωλύτως, ἄνευ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, καὶ εἰσάγειν μὲν ἱερέα ἐν αὐτῷ τὸν ἐκ τῆς ἐνορίας ταύτης ἀξιωθησόμενον, ἐξάγειν δὲ πάλιν τὸν μὴ πειθόμενον αὐτῷ καὶ κατὰ πάντα ἐξουσιάζειν τούτου, πλὴν τοῦ χαρατζίου καὶ τοῦ μνημοσύνου ἡμῶν, ὀφείλων ἀλογοπραγήτως παρέχειν αὐτὸ πρὸς τὴν τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν καὶ ἀκαταπαύστως μνημονεύειν τὸ τοῦ πατριάρχου ὄνομα, ἐπεί, ὡς σαφῶς ἐφάνη καὶ ἡμεῖς τοῦτο οἴδαμεν καὶ γινώσκομεν, ὅτι ἡ μὲν ἐκκλησία μόνον σταυροπήγιόν ἐστιν, ἡ δὲ τοῦ τόπου περιοχή, ἤτοι ἡ ἐνορία αὐτῆς, ἐπαρχία τῶν Ἰωαννίνων σαφέστατα πέφυκε. Τούτων οὖν πάντων συνοδικῶς διορισθέντων καὶ ἀποφανθέντων, ἐντελλόμεθα καὶ γνώμῃ κοινῇ παρακελευόμεθα τοῦτο, ἵνα καὶ ὁ ῥηθεὶς παπᾶ Δημήτριος ὁ Καρατζᾶς συμψάλλῃ τοῖς λοιποῖς ἱερεῦσιν ἐν αὐτῷ τῷ πατριαρχικῷ σταυροπηγίῳ, μερίζων ἐξίσου σὺν αὐτοῖς τὸ ἐρχόμενον εἰσόδημα καὶ δικαίωμα, εἰς ἐξ αὐτῶν τυγχάνων καὶ αὐτός,

(1) Δὲν ὑπάρχει οὗτος ἐν τῇ καταγραφῇ τοῦ Ἀραβαντινοῦ, τ. Β', σελ. 237.

ὡς δὲ κτήτωρ ἔχῃ τὸ μνημόσυνον αὐτοῦ διηνεκὲς κατὰ τὴν διακέλευσιν τῶν θείων καὶ ἱερῶν νόμων. Τὰ δὲ πρὸς αὐτὸν τὸν παπᾶ Δημήτριον κατὰ παράδρομὴν δοθέντα ἡμέτερα γράμματα, ἄκυρα μένειν καὶ ἀνίσχυρα καὶ ταῦτα διοριζόμεθα, τῆς ἀληθείας φανείσης καὶ παρρησίᾳ μαρτυρηθείσης. Οὕτω τοίνυν συνοδικῇ γνώμῃ διωρισάμεθα καὶ ἀπεφηνάμεθα. Ὅστις δ' ἂν κατὰ καιρὸν βουληθείη ἀνατρέψαι καὶ κατά τι ἐναντιωθῆναι τὸ παρὸν ἡμέτερον νόμιμον καὶ εὔλογον γράμμα, ὁ τοιοῦτος ὁποίου ἂν εἴη καταλόγου ἔστω ἀφωρισμένος καὶ ἀσυγχώρητος ἀπὸ Θεοῦ παντοκράτορος καὶ ἄλυτος αἰωνίως μετὰ θάνατον καὶ τὴν παρὰ Θεοῦ ὀργὴν οὐκ ἐκφεύξηται. Ἀπολέλυται δὲ τὸ παρὸν ἡμέτερον γράμμα κατὰ μῆνα τοῦ ,ζοθ' (1571) ἔτους Ἰούνιον».

Ἕπεται ὑστερόγραφον· «Εἰ καὶ πρότερον ἐξεδόθη γράμμα τῷ παπᾷ Δημητρίῳ αὐτῷ μόνῳ ψάλλειν τὴν ἐκκλησίαν τοῦτο μὲν ὡς κτητορικὸν ἔχοντι δικαίωμα, τοῦτο δὲ καὶ ὡς μόνῳ τὰς ἐπισυμβαινομένας τῇ ἐκκλησίᾳ ἐξόδους καταβάλλῃ ὑποφέρειν, ἀλλ' οὖν νῦν τῶν ὑπὲρ τῆς ἐκκλησίας ταύτης γενησομένων ἐξόδων ἢ παρὰ τῶν ἔξω ἢ καὶ ἀλλαχόθεν, ἐκ τοῦ μέσου ἐκβεβλημένου τῶν ἱερέων τῶν τὴν ἐκκλησίαν ψαλλόντων» (sic).

ΜΑΚΑΡΙΟΣ ΜΑΚΡΗΣ

ΥΠΟ

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΥ ΚΕΡΑΜΕΩΣ

Μακάριος ὁ ἐπικεκλημένος Μακρῆς καὶ συγγραφεὺς γνωστοῦ κατὰ Λατίνων πονήματος, ἀκμάσας δ' ἐν ἀρχαῖς τοῦ πεντεκαιδεκάτου αἰῶνος, γνωστὸς ἦν ἡμῖν ἐκ μόνων τῶν λόγων τοῦ ἱστοριογράφου Γεωργίου Φραντζῆ, φιλίως πρὸς τὸν Μακρῆν διακειμένου καὶ τὴν μνήμην αὐτοῦ δι' ὀλίγων μὲν ἀλλ' ἐκφραστικῶν ῥήσεων εἰς αἰῶνα τὸν ἅπαντα παραπέμψαντος. Ἀνέλπιστον δὲ εὕρεμα πρὸ τριετίας γενόμενον γνω-

στότερον νῦν τὸν βίον αὐτοῦ καθίστησι. Ἐν ἔτει 1888 μελετῶν τινα τῶν χειρογράφων βιβλίων τῆς ἐν Καίρῳ βιβλιοθήκης ἐνέτυχον κώδικι χαρτώῳ ὀγδόου σχήματος, γραφέντι, ὡς ἔοικε, ὑπερμεσούσης τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος καὶ περιέχοντι σὺν ἄλλοις κείμενα οὐ σμικροῦ λόγου ἄξια. Σύγκειται ἐκ φύλλων 240, τὸ δὲ περιεχόμενον ἔχει καθ' εἱρμὸν οὕτω.

1. Ἀκολουθία εἰς τὸν ὅσιον πατέρα ἡμῶν Μακάριον τὸν ἐπικεκλημένον Μακρῆν, ἧς ἡ ἐπιγραφὴ δυσανάγνωστος, φ. 1 κέ.

2. «Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Μακαρίου, οὐ τὸ ἐπίκλην Μακρῆ, ἡγουμένου χρηματίσαντος ἐν τῇ σεβασμιωτάτῃ μονῇ τοῦ Παντοκράτορος», φ. 13.

3. «Ἐγκώμιον εἰς τὸν ἀρχιστράτηγον Μιχαὴλ πασῶν τῶν ἐπουρανίων δυνάμεων ἀσωμάτων», οὗ ἡ ἀρχὴ «Μιχαὴλ ὁ διαπρεπέστατος», φ. 61.

4. «Ἐγκώμιον εἰς τὸν εὐσεβέστατον αὐτοκράτορα... καὶ ἡμῶν αὐθέντην καὶ βασιλέα κυρὸν Ἰωάννην τὸν Παλαιολόγον», οὗ ἡ ἀρχὴ «ἀντὶ πολλῶν ἂν ὦ θειότατε», φ. 75.

5. «Περὶ τῆς μείζονος τῶν ἀρετῶν καὶ βασιλικωτάτων καὶ τίνες εἰσὶν οἱ ταύτην κατορθωκότες ὄντως ἀγάπης». Ἀρχ. «Ἀρχομένῳ δὴ λέγειν», φ. 91.

6. «Προσφωνηματικὸς εἰς τὸν εὐσεβέστατον καὶ θειότατον δεσπότην, αὐτάδελφον τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κυρὸν Δημήτριον τὸν Παλαιολόγον». Ἄρχ. «Κοσμήσας μὲν πρότερον λόγοις», φ. 99.

7. «Ἐγκώμιον εἰς τὸν αὐτοκράτορα», οὗ ἡ ἀρχὴ «Τὸ μὲν διεξιέναι τὰς σὰς ἀριστείας», φ. 107.

8. Ἀσματικὸς κανὼν εἰς τὸν ἅγιον Γεώργιον, φ. 117.

9. Ἀκολουθία εἰς τοὺς ἁγίους μεγαλομάρτυρας Θεοδώρους, φ. 120.

10. Κανὼν εἰς τὸν ἅγιον Γεώργιον, φ. 124.

11. Κανὼν εἰς τὸν αὐτόν, οὗ ἡ ἀκροστιχὶς «Γεωργίῳ μάρτυρι ὕμνον ἐξάδω», φ. 127.

12. Κανὼν εἰς τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον, φ. 130.

13. «Ἀκολουθία εἰς τὸν εὐσεβέστατον καὶ θειότατον βασιλέα ἡμῶν κῦρ Μανουήλ, διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθέντα Ματθαῖον μοναχόν». Ἄρχ. «Τὸ θεότευκτον ἄγαλμα», φ. 133.

14. «Ἕτερος κανὼν εἰς τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον», οὗ ἡ ἀκροστιχὶς «Τὸν θεῖον μύστην προσφυῶς» κτλ., φ. 138.

15. Στιχηρὰ προσόμοια εἰς τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον, φ. 140[6].

16. Ἀκολουθία εἰς τὴν Θεοτόκον, φ. 141.

17. Ἀκολουθία εἰς τὸν ἅγιον Ἀθανάσιον τὸν ἐν τῷ Ἄθῳ, φ. 142.

18. Ἀκολουθία εἰς τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον, φ. 146[6].

19. Ἕτερος κανὼν εἰς τὸν αὐτόν, οὗ ἡ ἀκροστιχὶς «Τὸν θεῖον μύστην» κτλ., φ. 149[6]. Ἐπανάληψις τοῦ ἐν φ. 138 κανόνος.

20. «Ἀκολουθία» κτλ. Ἐπανάληψις τῆς ἐν φ. 133 ἀκολουθίας εἰς τὸν βασιλέα Μανουήλ.

21. Κανὼν εἰς τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον, οὗ ἡ ἀκροστιχὶς «Ὑμνῶ προφήτην» κτλ., φ. 155[6].

22. «Ἀκολουθία τοῦ ἁγίου Ἀλεξάνδρου τοῦ ἐν Κορίνθῳ». Ἀρχ. «Τῆς Τριάδος τὸ ἔρεισμα», φ. 159.

23. Ἐγκώμιον ἀνεπίγραφον, οὗ ἡ ἀρχὴ «Ἔδει μὲν ὦ παρόντες μηδὲ τὴν ἀρχὴν ὅλως» κτλ., φ. 166.

24. Ἀκολουθία εἰς τὰς ἁγίας ἓξ οἰκουμενικὰς συνόδους καὶ εἰς τὸν ἀρχάγγελον Γαβριήλ, φ. 170.

25. Στιχηρὰ εἰς τὸν ἅγιον Ἰωάννην τὸν Πρόδρομον, φ. 170[6].

26. «Ἰδιόμελον εἰς τὸν ἀρχιστράτηγον Μιχαὴλ» τετονισμένον, φ. 171[6].

27. «Μονῳδία εἰς τὸν ἐνδοξότατον καὶ εὐγενέστατον οἰκεῖον τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ κυρὸν Γεώργιον τὸν Καντακουζηνόν». Ἄρχ. «Ἆρ' οὖν οὐ τῶν κρειττόνων», φ. 180.

28. «Μονῳδία εἰς τὴν Θεσσαλονίκην διὰ μέτρων ἡρωϊκῶν». Ἄρχ. «Ὤμοι γε πώποτε γιγνομένων», φ. 180.

29. «Τῷ εὐσεβεστάτῳ δεσπότῃ καὶ αὐταδέλφῳ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Παλαιολόγῳ κυρῷ Κωνσταντίνῳ ἐν Ἀχαΐᾳ ἐπιστολὴ διὰ μέτρων ἡρωϊκῶν». Ἀρχ. «Ἡμέας ἀπέστειλε πρός σε ὁ τῶνδ' ἔξαρχος», φ. 186[6].

30. «Εἰς τὸν αὐτάδελφον τούτου δεσπότην τὸν εὐσεβέστατον κῦρ Θεόδωρον τὸν Παλαιολόγον». Ἄρχ. «... τοι ὁ βουλόμενος Θεμέλιον ἐποικοδομεῖν», φ. 187. Ἔμμετρον.

31. «Λόγος εἰς τὸ γενέσιον τῆς ὑπεραγίας ἐνδόξου δεσποίνης ἡμῶν

Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας». Ἄρχ. «Δεῖν οἶμαι τῇ τοῦ Θεοῦ Λόγου μητρί», φ. 188.

32. «Ὁμιλία εἰς τὴν παραβολὴν τοῦ ἀσώτου», ἧς ἡ ἀρχὴ «Οὔτε πέλαγος», φ. 204.

Καὶ ταῦτα μὲν τὰ κείμενα ὑπάρχουσιν ἀνώνυμα ἐν τῷ κώδικι, πονήματα ἴσως ἑνὸς καὶ τοῦ αὐτοῦ συγγραφέως, οὗ τὸ ὄνομα, ἂν μὴ ἀπατᾷ με ἡ μνήμη, δὲν ἠδυνήθην νὰ ἀνεύρω. Εὑρεθήσεται δ' ὅμως ἐὰν ἄλλος τις ἐπιμελέστερον τὸν κώδικα ἐξετάσῃ, διότι ὁ γράφων ταῦτα ἐνδιεφέρετο μόνον εἰς τὴν οὐσίαν τῶν κειμένων τῶν πραγματευομένων περὶ τοῦ ὁσίου Μακαρίου Μακρῆ καὶ περὶ Θεσσαλονίκης. Παρὰ τὴν ἐπιγραφὴν δ' ἑνὸς τῶν κειμένων τούτων ἀνέγνων ἐν μονοκονδυλίᾳ τὸ ὄνομα «Μανουήλ». Πρὸς τὸ τέλος δὲ τοῦ χειρογράφου κεῖνται ἔτι τὰ ἑπόμενα συγγραμμάτια.

33. Λέοντος τοῦ σοφοῦ «λόγος εἰς τὸν πρῶτον αὐτῷ ἐκ τοῦ παραδείσου τῆς ἐκκλησίας προσενεχθέντα ἔμψυχον στέφανον». Ἀρχ. «Νόμος ἄνωθεν», φ. 218.

34. Μιχαὴλ Ψελλοῦ «λόγος ἱστορικὸς εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ ἁγίου ἐνδόξου πανευφήμου ἀποστόλου πρωτομάρτυρος ἀρχιδιακόνου Στεφάνου». Ἀρχ. «Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός», φ. 226 [6]. Λείπει τὸ τέλος.

35. Φιλοθέου μητροπολίτου Σηλυβρίας κανὼν «εἰς τὴν ἁγίαν ἀνάστασιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἰαμβικός, οὗ ἡ ἀκροστιχὶς ἐξ ἡρωελεγείων», φ. 238.

36. «Τοῦ αὐτοῦ ἰαμβικὸς εἰς τὴν Ὑπαπαντὴν» κτλ., φ. 240.

Τὸ πρῶτον καὶ δεύτερον κείμενον τοῦ κώδικος τούτου εἰσὶ σημαντικά, καθόσον νῦν πρῶτον δι' αὐτῶν γνωρίζομεν τὴν βιογραφίαν τοῦ Μακρῆ, πρὸς δὲ καὶ ὅτι ἐτάχθη ἐν τοῖς ἁγίοις τῆς ἡμετέρας ἐκκλησίας, ἂν καὶ ὁ ὑπ' ὄψει μου πλουσιώτατος συναξαριστὴς τοῦ ἁγιορείτου Νικοδήμου οὐδὲν σημειοῖ περὶ τῆς ἁγιότητος τοῦ Μακαρίου.

Ὁ ἀπὸ τοῦ 13 φύλλου κατὰ πλάτος βίος εἶναι μᾶλλον ἐγκώμιον, πλῆρες ῥητορικῶν ἐκφράσεων. Δι' ἔλλειψιν χρόνου προὐτίμησα τὴν ἀντιγραφὴν τοῦ συντόμου βίου, ἀρκοῦντος τόγε νῦν εἰς ἡμᾶς. Ἔχει δὲ οὕτω (φύλ. 9–12).

Τῷ αὐτῷ μηνὶ (Ἰανουαρίῳ) η',
μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μακαρίου τοῦ ἐπικεκλημένου Μακρῆ.

Ἐντεῦθεν ἤρθης πρὸς μονὰς ἀϊδίους·
ἄξια τῶν πόνων γέρα νῦν λαμβάνεις.

Στέφει κάραν σὴν ἀμαραντίνῳ στέφει
Θεός γε πάντων καὶ μετὰ τέλος μάκαρ.

Ὀγδοάτῃ Ἰανουαρίοιο νέκυν κτερέϊξον.

1. Ὃς ὥρμητο μὲν ἐκ τῆς Θεσσαλονικέων ἐκ γένους περιφανοῦς καὶ ἐνδόξου, πατὴρ δὲ αὐτῷ Δημήτριος τοὔνομα. Ἄμφω γὰρ οἱ γεγεννηκότες θεοσεβεῖς καὶ τῶν τὴν ἀρετὴν μάλιστα μετιόντων. Γεννᾶται τοίνυν ὁ παῖς ἐπὶ τῆς βασιλείας Μανουὴλ τοῦ εὐσεβεστάτου βασιλέως. Πενταετῇ δὲ χρόνον τετελεκὼς γραμματιστῇ τινι δίδοται παρὰ τῶν τεκόντων εἰς παιδείαν τῆς θύραθεν ἅμα καὶ τῆς ἡμετέρας, καὶ εὐθὺς δαλὸς ἦν εἰς πῦρ τὸ τοῦ λόγου. Τριῶν οὖν ἢ τεττάρων ἐληλακότων ἐνιαυτῶν, τοὺς κατ' αὐτὸν ἅπαντας σχεδὸν ὑπερήλασεν. Οὐ μὴν ἀλλὰ καὶ ἀρετῆς ὡς μάλιστα ἐπιμελόμενος ἦν· οὐ γὰρ κατὰ παῖδας ἦν αὐτῷ τὸ φρόνημα, ἀθύρμασι καὶ παιδιαῖς χρωμένῳ, ἀλλὰ σύννους ὢν ὡς ταπολλὰ καὶ ἀπρόϊτος τῆς τε διατριβῆς μόνης ἀντείχετο τῶν μαθημάτων καὶ ἡνίκα δεῆσαν εἰς θείους καὶ ἱεροὺς νεώς. Χρόνου δὲ προϊόντος καὶ τὰ κάλλιστα συλλεξάμενος τῶν Γραφῶν—σπουδὴν γὰρ συνείρας τῇ φύσει—ἐξ ὧν αἱ ἐπιστῆμαι τὸ κράτος ἔχουσι, τὸ λοιπὸν οὐκ ἔγνω διάγειν ἐνταῦθα, οὐδὲ κατὰ τὸν θεῖον Δαυὶδ ἑαυτὸν δοὺς εἰς ματαιότητας καὶ μανίας, ἀλλὰ τὸ πῦρ ἐκεῖνο ὃ Χριστὸς ἦλθε βαλεῖν ἐπὶ τὴν γῆν δεξάμενος ἐν καρδίᾳ οὐκ ἦν αὐτῷ ἠρεμεῖν.

2. Τοίνυν τοῦ ἐρωμένου ἀσχέτως ἐρῶν καὶ ὅλως τοῦ μακαρίου γενόμενος πάθους ἐζήτει καιρὸν καθ' ὃν ἔμελλε τὸ ποθούμενον συμπεραίνειν. Ἀλλ' οὐκ οἶδ' ὅπως τοῦ πράγματος οἱ γεγεννηκότες αἰσθόμενοι τῆς πρόσω φορᾶς εἶργον, μάλιστα δὲ ἡ μήτηρ παντελῶς οὐκ εἴα, ἅτε δὴ μήτηρ καὶ τὸ εἰς αὐτὸν φίλτρον πλέον ἐκκαίουσα. Ὁ δὲ παρῃτεῖτο μὲν τὴν ἀποδημίαν τόγε νῦν ἔχον, ἕως ἂν ἡ γεγεννηκυῖα

ἦν ἐν τοῖς ζῶσι, κἀν τούτῳ δεσποτικὴν ἐντολὴν ἐκπληρῶν φάσκουσαν «γονέας τιμᾶν καὶ καθυπείκειν εἰς ἃ δεῖ καὶ ἐφ' ὅσων δεῖ». Φθάσας τοίνυν ὀκτωκαιδέκατον ἔτος τῆς αὐτοῦ ἡλικίας, ἡ τεκοῦσα μεθίσταται τῶν ἐνταῦθα καὶ ἡ ἐλπὶς οὐ παρῃτεῖτο καὶ ὁ πόθος ηὐξάνετο τοῦ νέου. Ὅθεν εὐκαίρως δραξάμενος τοῦ τοιούτου καιροῦ καὶ τοῦτον εὑρὼν ὡς μάλιστα ἐπιτήδειον, λιπὼν οἰκείους καὶ συγγενεῖς καὶ φίλους καὶ προσέτι τὸ πατρῷον φίλον ἔδαφος, ἐντεῦθεν ἀπαίρει καὶ ἐφ' ἑνὶ τῶν ὀρέων κειμένῳ πρὸς Θρᾴκῃ παραγίνεται, Ἄθῳ προσαγορευομένῳ καὶ τῇ τοῦ Βατοπεδίου μονῇ προσφοιτᾷ. Εὑρὼν οὖν ἐνταῦθα ἕνα τῶν γερόντων, ὃς ἦν διαφορώτερος πάντων τῶν ἐκεῖσε, πρόσεισι τούτῳ καὶ τὴν αἰτίαν δι' ἣν πάρεστι καταλέγει, καὶ δεῖται μάλιστα τοῦ θείου ἀνδρός, ὥστε δέξασθαι τοῦτον καὶ τοῦ μοναδικοῦ σχήματος ἀξιῶσαι καὶ τοῖς φοιτηταῖς συντάξαι. Ὁ δ' οὐκ ἀνένευσεν, οὐδὲ παρῃτήσατο. Οὐ δέον ἔκρινε παριδεῖν ψυχὴν γλιχομένην τοιούτου καλοῦ. Τοιγαροῦν δέχεται τοῦτον ἀσμένως.

Ἔπειτα μεθ' ἡμέρας τινὰς ἀποκείρει καὶ τοῖς ἑαυτοῦ μύσταις συντάττει, ὕστερον δὲ καὶ τὸ τῆς ἱερωσύνης χρίσμα λαμβάνει. Οὐ μόνον δὲ ἀλλὰ καὶ ὅσα πρότερον μαθήματα τῆς ἑλληνικῆς παιδείας οὐκ ἔφθη παρὰ διδασκάλου λαβὼν διδάσκεται πρὸς τοῦ θείου γέροντος· ἦν γὰρ ταύτων, ὡς ἔοικεν, οὐκ ἄμοιρος. Ζήσας οὖν ἔτι μετὰ τὴν ἄφιξιν τοῦ νέου περὶ τὰ δώδεκα ἔτη τῆς παρούσης ζωῆς ἀπαλλάττεται καὶ πρὸς τὴν ἀγήρω ζωὴν μεταβαίνει. Ἐπεὶ δὲ καὶ πρὸς δευτέρους ἀγῶνας ἔμελλεν ἀποδύεσθαι, ὥσπερ οὐκ ἀρκούσης αὐτῷ τῆς προτέρας ὑποταγῆς εἰς τελείωσιν, διὰ τοῦτο καὶ αὖθις παραγίνεται πρὸς ἕτερον γέροντα. Ἴστε γὰρ δήπου τὸν θεῖον Δαυίδ, τὸν ἐκ τῆς αὐτῆς ὄντα πατρίδος, τὸν ὄντως μακάριον πράξει καὶ θεωρίᾳ τοὺς πλείω διενεγκόντα. Καὶ τούθ' ὑποτάσσεται ὥσπερ ἐξ ἄλλης ἀρχῆς. Οὐκ ὤφθη ποτὲ γογγύσας ἢ τὸν ἀγῶνα καθυφεὶς ἢ ἕτερόν τι πράξας τῆς αὐτοῦ καρτερίας καὶ μακροθυμίας ἀνάξιον, ἀλλὰ παντὸς ἀδάμαντος στερρότερος γεγονώς, οὐκ ἀλλοιώσας τὴν φύσιν τὸ παράπαν, τῷ δ' εὐσεβεῖ λογισμῷ ταύτην στομώσας, ἤνεγκε μυκτηρισμούς τε καὶ χλεύας ὡσεὶ μέλι καὶ κηρίον. Ὅθεν καὶ παρὰ πάντων ἠγαπᾶτο, οὐ τῶν ἐνταῦθα μόνον ἀλλὰ καὶ τῶν πέριξ ὄντων.

4. Ταύτῃ τοι καὶ πρὸς τοῦ κρατοῦντος ἄμφω μετακαλοῦνται ἐπὶ τὴν βασιλεύουσαν καὶ τὴν προσήκουσαν αὐτοῖς ἀπονέμει τιμήν, τῷ

μέντοι διὰ τὴν ἐνοῦσαν αὐτῷ ἀρετὴν πρεσβυτέρῳ, θατέρῳ δ' αὖ διά τε τοὺς λόγους καὶ τὴν ἀρετήν. Δεῖγμα τοίνυν τῆς τοῦ κρατοῦντος ἀγάπης εἰς αὐτούς, ὡς εἴγε τῆς ἐπανόδου μὴ μνησθῆναι τούτους ἔδει, ἐβούλετ' ἂν διὰ παντὸς κατέχειν ἐνταῦθα καὶ τῆς ὁμιλίας τούτων ἀπολαμβάνειν. Μόλις οὖν μετὰ παραδρομὴν δύο ἐνιαυτῶν ἀπολύονται μεθ' ὅσης ἂν εἴπῃς τιμῆς τε καὶ θεραπείας. Τοιγαροῦν ἐπανίασιν ἀμφότεροι οἴκαδε καὶ τῆς προτέρας διαγωγῆς ἄρχονται. Ἀλλὰ καὶ οὗτος τὸ κοινὸν χρέος τοῖς πᾶσιν ἀποτίννυς πρὸς τὴν ὑπερκόσμιον ζωὴν ἐντεῦθεν ἀπαίρει, πλήρης ἡμερῶν γενόμενος.

5. Ἐπεὶ οὖν ὁ κρατῶν ταῦτά γε μάθοι, μεταπέμπεται τὸν φερωνύμως Μακάριον αὖθις ἐπὶ τὴν βασιλεύουσαν καὶ ὃς οὐκ ἦν ἐνδοιάζων οὐδ' ἀναβαλλόμενος· ἤδει γὰρ τῷ πνεύματι καὶ πρὶν ἐπιστῇ ὅτου χάριν καλεῖται καὶ οἵων ἀγαθῶν πρόξενος ἔμελλεν ἔσεσθαι τῇ βασιλίδι τῶν πόλεων καὶ δι' ἐκείνης ἅπασι τοῖς τῆς ἐκκλησίας τροφίμοις καὶ ὅσων λογικῶν θρεμμάτων ποιμήν, εἰ καὶ μὴ ἐπὶ πολὺ τῆς ζωῆς αὐτοῦ παραταθείσης ὑπὸ τῆς πάντα καλῶς οἰκονομούσης προνοίας· οὕτω γὰρ ἔδοξε καὶ οὐ δεῖ ἀντιτείνειν ὅθεν ὑπὸ τοῦ πνεύματος ἦγετο. Ἐλθὼν τοίνυν ἐνταῦθα κατὰ γνώμην τοῦ βασιλέως, ἀξιοῖ τοῦτον δέξασθαι τὴν ἐπονομαζομένην σεβασμίαν μονὴν τοῦ Παντοκράτορος, ἀπό τε τοῦ περιβόλου μόνον καὶ τοῦ τείχους καὶ ἱεροῦ νεὼ οὕτω καλεῖσθαι, ἐπεί τοι γε ἀπὸ τῶν πραγμάτων οὐδαμῶς· οὐδὲ γὰρ προσῆκε, ὥσπερ ἄν τις καὶ τεθνεῶτα εἰκότως καλοῖτο ἄνθρωπον, πάντων ἁπλῶς περιῃρημένων τῶν ὅσα εἰς σύστασίν τε καὶ περιποίησιν τυγχάνει ταύτῃ.

6. Παραλαβὼν οὖν ταύτην ὁ τοῦ Θεοῦ ἄνθρωπος, ἥπερ εἴρηται, τοιούτοις χρησάμενος ὑπὲρ αὐτῆς λογισμοῖς καὶ εἰς τοσοῦτον προήγαγεν ἐπὶ τὸ κρεῖττον καὶ κατέστησεν, οἷα νῦν ὁρᾶται τήμερον. Ἔξεστι δὲ παντὶ βουλομένῳ συνιδεῖν ἀπὸ τῶν νεοδμήτων ὅσα προσεγεγόνει ταύτῃ καὶ προσετέθη τῶν προϋπηργμένων. Ὁ δὲ περὶ αὐτὴν χορὸς πρῶτον μὲν ὢν τὸν ἀριθμὸν ἄχρι διπλῆς τριάδος, ὕστερον δὲ πρόεισι καὶ εἰς διττὴν ἑξάδα, οὐκ ἀποδέων τοῦ τῶν Ἀποστόλων χοροῦ. Ἀλλὰ μὴν καὶ πρὸς τὸν Ῥώμης πρεσβεύεται πρόεδρον ὑπὲρ τῆς τῶν ἐκκλησιῶν ἑνώσεως, τὴν προτροπὴν παρὰ τοῦ κρατοῦντος δεξάμενος, καὶ τοῦτον λόγοις τοῦ Πνεύματος πείσας, ὥστε σύνοδον οἰκουμενικὴν συγκροτηθῆναι· οὗπερ δὴ καὶ ὁ βασιλεὺς διαφερόντως ἦρα καὶ παντὸς ἄξιον ἡγεῖτο.

7. Ὑπονοστεῖ ἐνιαυτὸν ὅλον ἐκεῖσε πληρώσας. Ἐπεὶ δὲ μετὰ τὴν ἄφιξιν οὐ πολλὴν ἐνδιατρίψας ἐνταῦθα χρόνον ἐμελέτα καὶ αὖθις ὁ κρατῶν στεῖλαι εἰς τὸ συμπεράναι τὸ ἔργον καὶ σχεδὸν πάντες ἀπήρτηντο ταῖς ἐλπίσι, καὶ μονονοὺ ταύτην ὁρῶντες τετελεσμένην καὶ αὐτὸς ἐρῶν μάλιστα τῶν ἄλλων, ὡς ἂν πέρας θείη τῷ πράγματι, ἐπισκήπτει τούτῳ νόσος βαρυτάτη—λάβρος γὰρ πυρετὸς ἦν—καὶ τοῦ χρωτὸς οὐ δὴ πρότερον νηστείᾳ καὶ ἀσκήσει ἐκένου καὶ ἐδάμαζε, τοῦτον ἤδε παραλαβοῦσα κατέτρυχεν. Ἀλλ' ἕως μὲν οὐ παρῆν σφοδρότερος ἀνταγωνιστὴς κατὰ μικρὸν ἀντέσχεν· ἐπεὶ δὲ παρεγεγόνει, οὐκ ἠδύνατο ἀντισχεῖν ὅλως ὁ ἀοίδιμος· ἡττήθη τοῦ πάθους· τοῦτο δ' ἦν ὅπερ ἰατρῶν παῖδες βουβῶνα καλοῦσιν. Ἐπεὶ δὲ τὴν ἑαυτοῦ ἐκδημίαν ἐπέγνω κἀν τοῖς παροῦσιν ἐξῆς οὐκ ἔμελλεν ἔσεσθαι ἐνθάδε μετὰ τοῦ σώματος, προσκαλεῖται πᾶσι τοῖς περὶ αὐτὸν οὖσι μοναχοῖς καὶ τὰ συντείνοντα τούτοις εἰς σωτηρίαν φθεγξάμενος καὶ τῆς πρὸς [Θεὸν] ἀγάπης ἀντέχεσθαι παραινέσας, καὶ τελευτῶν τὴν εἰρήνην δι-δοὺς αὐτοῖς, τὸ πνεῦμα εἰς χεῖρας Θεοῦ παρατίθησι».

Καὶ ταῦτα μὲν ὁ ἐπίτομος βίος, εὐχῆς δ' ἔργον ὅπως ἐκδοθῇ καὶ ὁ κατὰ πλάτος βίος, διότι μεθ' ὅλας τὰς ῥητορικὰς ἐκφράσεις ἐνδεχόμενον νὰ συλλέξωμεν ἐν ἐκείνῳ καὶ πληροφορίας ἐκτενεστέρας περὶ τῆς εἰς Ῥώμην πρεσβείας τοῦ Μακαρίου, ὃν οἱ ἐν τῇ μονῇ τοῦ Παντοκράτορος ἀνεκήρυξαν ἅγιον, τήν τε ἀρετὴν καὶ τὰς ἀσκήσεις τοῦ θεοφόρου ἀνδρὸς ἐκτιμήσαντες ἐξηκριβωμένως. Ἡ δὲ εἰς Ῥώμην πρεσβεία ἐγένετο ἐπὶ τοῦ αὐτοκράτορος Ἰωάννου Ε' τοῦ Παλαιολόγου καὶ ἐπὶ πάπα Μαρτίνου Ε'. Ἰδοὺ νῦν καὶ τὸ χωρίον τοῦ ἱστορικοῦ Φραντζῆ· «Καὶ τῷ Αὐγούστῳ μηνὶ τοῦ αὐτοῦ ἔτους (1430) ἐπαναστρέψαντες οἱ ἀπὸ τοῦ βασιλέως κυροῦ Ἰωάννου πρὸς τὸν πάπαν Μαρτῖνον πρέσβεις, ὅ τε Μάρκος ὁ Ἴαγρος καὶ μέγας στρατοπεδάρχης, καὶ ὁ μέγας πρωτοσύγκελλος καὶ ἡγούμενος τῆς σεβασμίας βασιλικῆς μονῆς τοῦ Παντοκράτορος ἱερομόναχος καὶ πνευματικὸς Μακάριος ὁ Μακρῆς ὀνομαζόμενος, ἀνὴρ ἄριστος κατά γε λόγον καὶ ἀρετὴν καὶ σύνεσιν, ἐποίησαν ὁρισμῷ τοῦ βασιλέως δεσπότην τὸν αὐθεντόπου-

λον κύριν Θωμᾶν καὶ τῇ εἰκοστῇ πρώτῃ μαρτίου τοῦ αὐτοῦ ἔτους ἐδεξάμην καὶ τὸ ἀπευκταῖον ἐμοὶ μήνυμα δι' ὁρισμοῦ τοῦ αὐθέντου μου ἀπὸ τὴν Βοστίτζαν, ὅτι τῇ τοῦ παρελθόντος ἰανουαρίου ἑβδόμῃ τέθνηκε λοιμώδει νόσῳ ὁ ἄριστος κἀμοῦ φίλος ὁ Μακάριος καὶ ὢν καὶ καλούμενος Μακρῆς, ὁ παρ' ὀφθαλμῷ μὲν πατριαρχικῷ ἀκοιμήτῳ ὑπερηφάνῳ καὶ ἁπλήστῳ ἰαγαρικῇ καρδίᾳ αἱρετικός, παρὰ δὲ ὀφθαλμῷ παντοκρατορικῷ ἀκοιμήτῳ καὶ ἀληθείᾳ δικαζούσῃ ὀρθόδοξος· ὃς καὶ εἰς τὴν Κωνσταντινούπολιν ἐπανῆλθεν ἀπὸ τοῦ ἁγίου Ὄρους καὶ τὴν μονὴν τοῦ Παντοκράτορος ἔλαβε παρακινήσει καὶ συνεργείᾳ ἰδικῇ μου, ὡς οἱ πάντες ἐπίστανται, καὶ συνάρσει μὲν πρώτων τοῦ παντοκράτορος Θεοῦ, ἔπειτα δὲ σπουδῇ καὶ ἐπιμελείᾳ ἐμοῦ τε κἀκείνου, πᾶν εἴ τι καλὸν καὶ πρὸς σύστασιν καὶ εὐκοσμίαν εἰς τὴν αὐτὴν μονὴν παρεχώρησεν» (1).

Μακάριος ὁ Μακρῆς κατέλιπε μνημεῖα γραπτὰ οὐ μικροῦ λόγου ἄξια·

α') «Ὅτι τὸ λέγειν καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι οὔτε ἀναγκαῖον ἐστὶν ἀλλὰ καινοτομία τῆς ὀρθοδόξου πίστεως» (ὅρα L. Allatii de ecclesiæ occidentalis atque orientalis perpetua consensione, σ. 860). Ἐξεδόθη ὑπὸ Δοσιθέου Ἱεροσολύμων ἐν τῷ Τόμῳ καταλλαγῆς.

β') Λόγος περὶ εὑρέσεως καὶ ἀνακομιδῆς τῶν λειψάνων τῆς ἁγίας μάρτυρος Εὐφημίας, οὗ ἡ ἀρχὴ «Ἀλλὰ πῶς ἄν τις μᾶλλον εὔφημον». Ἐν τῷ 307 κοϊσλιν. κώδικι. Ὅρα Montfaucon, Bibliotheca Coisliniana σ. 424.

γ') Ἔκφρασις εἰκόνος τοῦ μεγαλομάρτυρος Δημητρίου κτλ., ἐν τῇ λαυρεντιακῇ βιβλιοθήκῃ. Fabricii τ. VIII, σ. 370.

---

(1) Κατὰ τὸ παρ' Ἀλλατίῳ κείμενον (de ecclesiæ occident. κτλ. σ. 860). Ἐκδόσεως Βόννης σελ. 156-157.

ΤΑΚΤΙΚΟΝ ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ ΕΚΚΛΗΣΙΩΝ ΤΗΣ ΑΝΑΤΟΛΗΣ ΚΑΙ ΚΑΤΑΛΟΓΟΣ ΑΡΧΙΕΡΕΩΝ ΛΚΜΙΑΣΑΝΤΩΝ ΕΝ ΛΥΤΑΙΣ ΜΕΤΑΞΥ ΤΟΥ ΙΖ' ΚΑΙ ΙΗ' ΑΙΩΝΟΣ

ΕΚΔΙΔΟΤΑΙ ΤΟ ΠΡΩΤΟΝ ΥΠΟ

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΥ ΚΕΡΑΜΕΩΣ

Τὸ ἐκδιδόμενον κείμενον ἀνεῦρον ἐν τῷ 487 κώδικι τῆς ἐν Ἱεροσολύμοις πατριαρχικῆς συλλογῆς. Ὁ κῶδιξ περιέχει κείμενα γραφέντα ἰδιοχείρως ὑπὸ τοῦ πατριάρχου Ἀλεξανδρείας Γερασίμου τοῦ Παλλαδᾶ καὶ τοῦ μητροπολίτου Λιβύης Σαμουὴλ Καπασούλη. Ὁ κατάλογος τῶν ἀρχιεπισκοπῶν Ἀχρίδος καὶ Ἰπεκίου κεῖται μεταξὺ τῶν φύλλων 146[β] καὶ 147[α]. Ὁ δὲ ἄλλος κατάλογος τῶν διοικήσεων Κωνσταντινουπόλεως Ἀντιοχείας Ἱεροσολύμων καὶ λοιπῶν κεῖται μεταξὺ τῶν φύλλων 149[β] καὶ 155[α]. Ἡ ἔκδοσις αὐτῶν εἶναι λίαν χρήσιμος, διότι νῦν πρῶτον γνωρίζομεν τὰ ὀνόματα ἁπάντων σχεδὸν τῶν ἀρχιερέων μιᾶς καὶ τῆς αὐτῆς ἐποχῆς καθ' ἣν ἤκμαζον οἱ γραφεῖς τοῦ κώδικος. Οἱ κατάλογοι εἶχον γραφῇ καθ' ἣν ἐποχὴν ἔζων οἱ ἀρχιερεῖς οἱ πρώτως σημειούμενοι· ἅμα δ' ὡς ἀπέθνησκεν ἢ μετετίθετο ἢ καθῃρεῖτό τις ἐξ αὐτῶν, ὁ ἰδιοκτήτης τοῦ κώδικος ἐφρόντιζε νὰ ἀπαλείφῃ τὸ ὄνομα τοῦ πρώτως σημειουμένου ἀρχιερέως καὶ νὰ ἐγγράφῃ τὸ τοῦ διαδόχου αὐτοῦ· τούτου δ' ἕνεκα εἰς ἐπαρχίας τινὰς σημειοῦνται κατὰ σειρὰν δύο τρεῖς τέσσαρες καὶ πέντε ἀλληλοδιάδοχοι ἀρχιερεῖς. Ἐνίοτε ὅμως ἀπήλειφε τὸ δεύτερον ὄνομα καὶ ἐκράτει ἀνέπαφον τὸ πρῶτον. Τοῦτο παρατηρεῖται ἐν ἀριθμῷ 1, 4, 26, 30, 50, 58, καὶ 59 τῶν μητροπόλεων τοῦ πατριαρχείου Κωνσταντινουπόλεως. Ἀδυνατῶ νὰ ἐξηγήσω τὸ φαινόμενον τοῦτο. Ἐν τῇ σειρᾷ τῶν ὀνομάτων δυνατὸν νὰ ὑπάρχωσι μεταθέσεις τινές, ἀλλὰ πρὸς τὸ παρὸν δὲν εὐκαιρῶ νὰ ἐξετάσω τὰ κατὰ τὴν ἐνδεχομένην μετάθεσιν.

Ἐπιφυλάττομαι ὅμως ἐν ἄλλαις διατριβαῖς περὶ τῶν ἀρχιερέων μητροπόλεών τινων νὰ ἐξετάσω τὸ λεπτομερὲς τοῦτο θέμα. Νομίζω ὅτι πολλοὶ τῶν ἐν ταῖς ἐπαρχίαις ἀσχολουμένων περὶ τὴν σύνταξιν καταλόγων τῶν ἀρχιερέων θέλουσιν εὕρει ἐν τῷ κειμένῳ ἀρκετὴν προσφιλῆ αὐτοῖς ὕλην. Οὗτοι μάλιστα δυνατὸν νὰ καθορίσωσι καὶ τὴν διάρκειαν τῆς διοικήσεως ἑκάστου ἀρχιερέως, βασιζόμενοι ἰδίᾳ εἰς τοὺς κώδικας τῶν ἐκκλησιῶν. Ἐφρόντισα νὰ τεθῶσιν ἅπαντα τὰ ὀνόματα κατὰ σειρὰν ὡς εὑρηνται ἐν τῷ ἱεροσολυμικῷ χειρογράφῳ, ἂν καὶ τὰ πλείω τούτων εἰσὶ διαγεγραμμένα. Ἐπίσης ἐτήρησα πιστῶς καὶ τὸν ἀνορθόγραφον τύπον γεωγραφικῶν τινων ὀνομάτων, διότι κατ' αὐτὸν τοῦτον καὶ λόγιοι καὶ ἀμαθεῖς ἀρχιερεῖς ἐδήλουν κατὰ τὰς ἐποχὰς ἐκείνας τὸ ὄνομα τῆς ἐπαρχίας αὐτῶν.

Α'.

Κατάλογος τῶν ἀρχιερέων τοῦ οἰκουμενικοῦ θρόνου.

1. Ὁ Καισαρείας Καππαδοκίας ὑπέρτιμος τῶν ὑπερτίμων καὶ ἔξαρχος πάσης Ἀνατολῆς Ἱερεμίας, Κυπριανός.
2. Ὁ Ἐφέσου πάσης Ἀσίας Θεοφάνης.
3. Ὁ Ἡρακλείας πρόεδρος τῶν ὑπερτίμων καὶ ἔξαρχος πάσης Θράκης καὶ Μακεδονίας Νεόφυτος.
4. Ὁ Ἀγκύρας πάσης Γαλατίας Μακάριος, Ἰωακείμ.
5. Ὁ Κυζίκου παντὸς Ἑλλησπόντου Κύριλλος.
6. Ὁ Φιλαδελφείας πάσης Λυδίας Μελέτιος.
7. Ὁ Νικομηδείας πάσης Βιθυνίας Παρθένιος.
8. Ὁ Νικαίας πάσης Βιθυνίας Ἰωαννίκιος, Γεννάδιος.
9. Ὁ Χαλκηδόνος πάσης Βιθυνίας Γαβριήλ, Κωνστάντιος.
10. Ὁ Θεσσαλονίκης πάσης Θετταλίας Μεθόδιος, Ἰγνάτιος.
11. Ὁ Τορνόβου πάσης Βουλγαρίας Θεοδόσιος, Διονύσιος.
12. Ὁ Ἀδριανουπόλεως παντὸς Αἱμημόντου Ἀθανάσιος, Ἀθανάσιος.
13. Ὁ Ἀμασείας παντὸς Εὐξείνου Πόντου Ἰωάσαφ, Ἰωαννίκιος, Διονύσιος.

14. Ὁ Προύσης Μουντανίων καὶ Τριγλίας ὑπέρτιμος Κύριλλος.
15. Ὁ Νεοκαισαρείας πόντου Πολεμωνιακοῦ Ἰγνάτιος, Ἰάκωβος, Γρηγόριος.
16. Ὁ Ἰκονίου πάσης Λυκαονίας Παρθένιος, Ἄνθιμος.
17. Ὁ Κορίνθου πάσης Πελοποννήσου Γρηγόριος.
18. Ὁ Μονεμβασίας ὁμοίως Γρηγόριος.
19. Ὁ Ἀθηνῶν πάσης Ἑλλάδος Κύριλλος, Μελέτιος.
20. Ὁ παλαιῶν Πατρῶν πάσης Ἀχαίας Ἀρσένιος.
21. Ὁ Τραπεζοῦντος πάσης Λαζικῆς Νεκτάριος, Παΐσιος.
22. Ὁ Λαρίσσης δευτέρας Θετταλίας καὶ πάσης Ἑλλάδος Παρθένιος.
23. Ὁ Ναυπάκτου καὶ Ἄρτης πάσης Αἰτωλίας Μελέτιος, Γρηγόριος, Νεόφυτος.
24. Ὁ Φιλιππουπόλεως Θράκης καὶ Δρογοβητίας Νεόφυτος.
25. Ὁ Ῥόδου πασῶν τῶν Κυκλάδων νήσων Κωνστάντιος, Ἰγνάτιος.
26. Ὁ Βερροίας Θετταλίας Λεόντιος, Μακάριος.
27. Ὁ Πισιδείας, Σίδης, Μυρέων καὶ Ἀττταλίας Λεόντιος.
28. Ὁ Σερρῶν πάσης Μακεδονίας Ἄνθιμος, Στέφανος.
29. Ὁ Φιλίππων καὶ Δράμας Μακεδονίας Γρηγόριος, Ἄνθιμος.
30. Ὁ Σμύρνης Ἀσίας Παρθένιος, Γρηγόριος, Κυπριανός.
31. Ὁ Μιτυλήνης πάσης Λέσβου Νικόδημος, Δανιήλ.
32. Ὁ Ἰωαννίνων Κερκύρων Κλήμης.
33. Ὁ Διδυμοτείχου πάσης Ῥοδόπης Στέφανος, Μακάριος, Γρηγόριος.
34. Ὁ νέων Πατρῶν ὑπέρτιμος Ἰωάσαφ, Γρηγόριος.
35. Ὁ Θηβῶν πάσης Βοιωτίας Μακάριος, Φιλάρετος.
36. Ὁ Αἴνου ὑπέρτιμος Γεδεών, Ἱερεμίας.
37. Ὁ Βιδύνης ὑπέρτιμος Ἀρσένιος, Συμεών.
38. Ὁ Μηθύμνης Λέσβου Ἄνθιμος.
39. Ὁ Χριστιανουπόλεως πάσης Ἀρκαδίας Ἀθανάσιος.
40. Ὁ Κρήτης πάσης Εὐρώπης Ἀρσένιος, Ἀθανάσιος, Καλλίνικος, Ἰωάσαφ.
41. Ὁ Λακεδαιμονίας πάσης Πελοποννήσου Γεννάδιος, Γρηγόριος.

42. Ὁ Παροναξίας παντὸς Αἰγέου πελάγους Ἰωάσαφ, Μακάριος, Κύριλλος.
43. Ὁ Μεσημβρίας μαύρης θαλάσσης Χριστόφορος, Μακάριος.
44. Ὁ Σηλυβρίας ὑπέρτιμος Ἀρσένιος, Μακάριος, Λεόντιος.
45. Ὁ Εὐρίπου πάσης Εὐοίας Καλλίνικος.
46. Ὁ Σοφίας ὑπέρτιμος Θεόκλητος, Γρηγόριος, Ἀναστάσιος.
47. Ὁ Βιζύης ὑπέρτιμος Ζαχαρίας, Ἰωακείμ.
48. Ὁ Σωζοπόλεως ὑπέρτιμος Γεράσιμος, Δαμασκηνός.
49. Ὁ Ἀγχιάλου πάσης μαύρης θαλάσσης Δανιήλ, Μακάριος.
50. Ὁ Βάρνης ὑπέρτιμος Μακάριος, Σεραφείμ, Λεόντιος.
51. Ὁ Δρύστρας παντὸς Παραδουνάβου Ἀθανάσιος.
52. Ὁ Προϊλάβου καὶ Τημαρόβου ὑπέρτιμος Καλλίνικος, Γρηγόριος.
53. Ὁ Μαρωνείας Ῥοδόπης Γαβριήλ, Καλλίνικος.
54. Ὁ Ξάνθης καὶ Περιθεωρίου ὑπέρτιμος Δαμασκηνός, Συμεών, Μακάριος.
55. Ὁ Γάνου καὶ Χώρας ὑπέρτιμος Κωνστάντιος.
56. Ὁ Γοτθίας καὶ Καφᾶ ὑπέρτιμος Παρθένιος, Νεόφυτος, Μακάριος.
57. Ὁ Χίου ὑπέρτιμος Γρηγόριος, Γεννάδιος.
58. Ὁ Ἴμβρου ὑπέρτιμος Δανιήλ, Παΐσιος.
59. Ὁ Λήμνου ὑπέρτιμος Ἰωαννίκιος, Διονύσιος, Παρθένιος, Χρύσανθος, Μακάριος.
60. Ὁ Ναυπλοίου καὶ Ἄργους ὑπέρτιμος Ἀμβρόσιος.
61. Ὁ Δέρκων ὑπέρτιμος Νικόδημος.
62. Ὁ Σωζοπόλεως ὑπέρτιμος Γεράσιμος.

---

63. Ὁ Μυρέων Ζακχαῖος.
64. Ὁ Ἱεραπόλεως Μάξιμος.
65. Ὁ Σίδης Ἱερόθεος.
66. Ὁ Σάρδεων Ἐφραίμ.
67. Ὁ Κλαυδιουπόλεως Κοσμᾶς.
68. Ὁ Σεβαστείας Νεόφυτος.

69. Ὁ Νύσσης Μητροφάνης.
70. Ὁ Σταυροπόλεως.
71. Ὁ Σελευκείας.

Δύο ἀρχιεπίσκοποι ἱερώτατοι.

1. Ὁ Προικοννήσου Μητροφάνης, Θεόκλητος καὶ
2. Ὁ Λιτίτζης Παγκράτιος.

Οἱ λοιποὶ θεοφιλέστατοι.

1. Ὁ Σάβου Γεδεών, Γρηγόριος.
2. Ὁ Πωγωνιανῆς Μαλαχίας, Εὐθύμιος, Ἀθανάσιος.
3. Ὁ Ἐλασσῶνος Φιλόθεος, Παχώμιος.
4. Ὁ Σίφνου Γρηγόριος, Γαβριὴλ, Μακάριος, Γαβριὴλ.
5. Ὁ Μύλου Γεράσιμος, Νεόφυτος, Ἀθανάσιος.
6. Ὁ Σαντορίνης Ζαχαρίας, Παρθένιος, Γεδεών, Νεόφυτος.
7. Ὁ Καρπάθου καὶ Κάσου Νεόφυτος.
8. Ὁ Ἄνδρου Ναθαναὴλ, Ἀθανάσιος, Γρηγόριος.
9. Ὁ Κῶ Κύριλλος.
10. Ὁ Αἰγίνης Καλλίνικος.
11. Ὁ Κασανδρείας Ἰγνάτιος.
12. Ὁ Ντζίας καὶ Θερμίων Μακάριος, Βαρθολομαῖος.
13. Ὁ Φαναρίου Ἀνανίας.
14. Ὁ Χαλδίας Φιλόθεος.
15. Ὁ Κεφαλληνίας καὶ Ζακύνθου Τιμόθεος.
16. Ὁ Λευκάδος καὶ ἁγίας Μαύρας Ἄνθιμος.

(Ἐπίσκοποι).

Τοῦ Κρήτης αἱ ἐπισκοπαί.

1. Ὁ Κυδωνίας.
2. Ὁ Ἀρκαδίας.
3. Ὁ Κνώσου.

4. Ὁ Λάμπας.
5. Ὁ Μυλοποτάμου.
6. Ὁ Ῥιθύμνης.
7. Ὁ Ἱερᾶς Πέτρας.
8. Ὁ Κισσάμου.
9. Ὁ Χερώνης.
10. Ὁ Σιτείας.
11. Ὁ Πεδιάδος.

Αἱ ἐπισκοπαὶ τοῦ Ἡρακλείας.

12. Ὁ Ῥαιδεστοῦ καὶ Πανίου Παχώμιος.
13. Ὁ Καλλιουπόλεως καὶ Μαδύτων Ἱερεμίας.
14. Ὁ Τηρουλώης καὶ Σερρεντζίων Δανιὴλ, Νεκτάριος.
15. Ὁ Μέτρων καὶ Ἀθύρων Γεδεών, Μακάριος, Νεῖλος.

Τοῦ Θεσσαλονίκης.

16. Ὁ Κίτρους Ἀθανάσιος.
17. Ὁ Καμπανίας Κωνστάντιος.
18. Ὁ Πολυανῆς.
19. Ὁ Πλαταμῶνος Μελέτιος.
20. Ὁ Πέτρας.
21. Ὁ Σερβείων Διονύσιος.
22. Ὁ Ἀρδαμερίου Θεόκλητος.
23. Ὁ Ἱερισσοῦ καὶ ἁγίου ὄρους Ἰγνάτιος, Ἄνθιμος.

Τοῦ Τορνόβου.

24. Ὁ Τζερβένου Διονύσιος.
25. Ὁ Λοφτζοῦ Ἰωακείμ.
26. Ὁ Πρεσλάβας Σωφρόνιος.

Τοῦ Ἀδριανουπόλεως.

27. Ὁ Ἀγαθουπόλεως Ῥωμανός.

Τοῦ Λαρίσσης.

28. Ὁ Δημητριάδων Ἰωαννίκιος.

29. Ὁ Λητζᾶς καὶ Ἀγράφων Διονύσιος.
30. Ὁ Ζητουνίου.
31. Ὁ Σταγῶν Ἀρσένιος,
32. Ὁ Θαυμακοῦ.
33. Ὁ Λοιδορακίου Συμεών.
34. Ὁ Ῥαδοβησδίου Γρηγόριος.
35. Ὁ Σκιάθου καὶ Σκοπέλου Κλήμης.
36. Ὁ Γαρδηκίου Γρηγόριος.

Τοῦ Ἰωαννίνων.

37. Ὁ Βελᾶς Φιλάρετος,
38. Ὁ Δρυνουπόλεως.
39. Ὁ Βοθροντοῦ καὶ Γλυκέων.
40. Ὁ Χειμάρρας καὶ Δελβίνου.

Β'.

Οἱ ἀρχιερεῖς τοῦ Ἀντιοχείας Κλίματος.

1. Ὁ Χαλεπίου Γεννάδιος.
2. Ὁ Λαοδικίας Ἰγνάτιος.
3. Ὁ Τριπόλεως τῆς Φοινίκης Ἰωακείμ.
4. Ὁ Παγιασίου.
5. Ὁ Βερουτίου Σολομών.
6. Ὁ Τύρου καὶ Σιδῶνος Εὐθύμιος.
7. Ὁ Ἀκαρίου Σολομών.
8. Ὁ Σεηντηνάγιας.
9. Ὁ Ἐζρουμίου.

Γ'.

Τοῦ Ἱεροσολύμων.

1. Ὁ Καισαρείας τῆς Παλαιστίνης Χρύσανθος.
2. Ὁ Βηθλεέμ.
3. Ὁ Ναζαρέτ.
4. Ὁ Πτολεμαΐδος Ἰωάσαφ.
5. Ὁ Γάζης Χριστόφορος.
6. Ὁ Λύδης Νεόφυτος.
7. Ὁ Πέτρας καὶ Ἰορδάνου Δωρόθεος.

Δ'.

Τοῦ Κύπρου Γερμανοῦ.

1. Ὁ Κηρηνίας Ἰωάννης, Ἄνθιμος.
2. Ὁ Πάφου Ἀθανάσιος.
3. Ὁ Νεμεσοῦ καὶ Κιτιαίων Ἰωαννίκιος.

Ε'.

Ὁ Οὐγγροβλαχίας

Μητροπολίτης Θεοδόσιος, Ἄνθιμος. Ὑπέρτιμος καὶ ἔξαρχος Πλαγηνῶν. Ἐπίσκοποι δύο

ὁ Ῥηνίκου Ἰωσὴφ καὶ ὁ Μποζέου Μητροφάνης.

Καὶ ὁ **Μολδοβλαχίας** μητροπολίτης Σάββας, Μισαήλ.

Ὑπέρτιμος καὶ ἔξαρχος Σοτζάβας καὶ Πλαγηνῶν. Οἱ ἐπίσκοποι τοὺ· του τρεῖς·

ὁ Ῥωμάνου, ὁ Χουσίου καὶ ὁ Ῥαντιουσίου.

ς'.

Αἱ ἐπαρχίαι τῆς ἀρχιεπισκοπῆς Ἀχριδῶν καὶ ὁ τίτλος αὐτῆς.

Ζωσιμᾶς, Διονύσιος, Ἰγνάτιος

«ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος τῆς πρώτης Ἰουστινιανῆς Ἀχριδῶν, Σερβίας, Βουλγαρίας καὶ Ἀλβανιτείας, δευτέρας Μακεδονίας, πόν· του δυτικοῦ καὶ τῶν αὐτῶν πατριάρχης».

Πρόεδρος Ἰγνάτιος.

αος Ὁ Καστορίας ἤτοι Νεκταριουπόλεως Διονύσιος.
βος Ὁ Κοριτζᾶς ἤτοι Σελλασφόρου Δανιὴλ, Ἰωάσαφ.
γος Ὁ Δυρραχίου.
δος Ὁ Βοδηνῶν ἤτοι Ἐδέσσης πρόεδρος Γερμανός, Μητροφάνης.
εος Ὁ Σισανίου ἤτοι Συστιουπόλεως πρόεδρος Ζωσιμᾶς.
ςος Ὁ Γρεβενοῦ Θεοφάνης.
ζος Ὁ Μπητολίας ἤτοι Πελαγονίας καὶ Πελεάσου Ἰάκωβος.
ηος Ὁ Μογλενῶν καὶ Μολάσκου ἤτοι Χλωρινοῦ Ἰγνάτιος. Χλω· ρινὸν λέγεται ἀπὸ Κώνσταντος τοῦ Χλωροῦ.
θος Ὁ Στρουμνήτζης ἤτοι Τιβεριουπόλεως Λεόντιος.
ιος Ὁ Μολισκοῦ.
ιαος Ὁ Δεβρῶν.
ιβος Ὁ Κιτζάβου.
ιγος Ὁ Βελεσσοῦ.
ιδος Ὁ Βελαγράδων ἤτοι Ἱσπατίας καὶ Μουζακίας Νεκτάριος.
ιεος Ὁ Πρεσπῶν Ἰωάσαφ.

ιςος Ὁ Αὐλῶνος καὶ Καννίνου.
ιζος Ὁ Κῶρα Μόκρας Ἀρσένιος.

Ζ'.

Αἱ ἐπαρχίαι τῆς ἀρχιεπισκοπῆς Ἰπεκίου καὶ αἱ ἐπισκοπαὶ αὐτῆς.

Ὁ ἀρχιεπίσκοπος Καλλίνικος.

1. Ἡ Γκοστάνιτζα μητρόπολις πλησίον Ὑπεκίου. Δανιήλ.
2. Τὸ Μπελιγράδιον μητρόπολις πλησίον τοῦ Δούναβι ποταμοῦ, μέση τῆς Σερβίας. Μιχαήλ.
3. Ἡ Μπόσνα μητρόπολις. Βησσαρίων, Ἰωαννίκιος.
4. Τὰ Σκόπια μητρόπολις Ἀθανάσιος.
5. Ἡ Στουδενίσκη ἐπισκοπή.
6. Ἡ Πριτορένσκη ἐπισκοπή.
7. Ἡ Πόλοζσκη ἐπισκοπή.
8. Τὸ Κράτοβον ἐπισκοπή.

Τοῦ Πεκίου ὁ τίτλος «ὁ δεῖνα ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Πεκίου καὶ πάσης Σερβίας, Βουλγαρίας, Δαλματίας, Βρετανίας, παραθα· λασσίας πόντου δυτικοῦ καὶ τῶν αὐτῶν πατριάρχης».

9. Ἡ Μπάνσκη ἐπισκοπή.
10. Ἡ Ντούπνισκη ἐπισκοπή. Νεκτάριος.
11. Ἡ Ζελιγόβσκη ἐπισκοπή, ἡ Βράνια λεγομένη.
12. Ἡ Νισσάσκη ἐπισκοπή. Ἰωαννίκιος. Ἡ Νίσσα λεγομένη.
13. Ἡ Μπέλα Τζερκβάσκη ἐπισκοπή, ἤγουν ἄσπρη ἐκκλησία.
14. Ἡ Τρεπάκτζηκη ἐπισκοπή.
15. Ἡ Ῥάσκη ἐπισκοπή. Γρηγόριος.
16. Ἡ Μπουντημλάντζικη ἐπισκοπή.
17. Ἡ Ζαχόμτζικη ἐπισκοπή.

18. Ἡ Ῥουντίσκη ἐπισκοπή, ἤγουν τόπος μετάλλων, ὅτι τὸ ρουντισερ μέταλλον λέγεται σέρβικα.
19. Ἡ Σμεντερέβτζηκη ἐπισκοπή.

Αἱ ἀντικρὺ τοῦ Δούναβι ἐπαρχίαι.

20. Ἡ Δημησφάρσκη ἐπισκοπή. Κωνστάντιος.
21. Ἡ Βρίσατζσκη ἐπισκοπή.
22. Ἡ Λίποβσκη ἐπισκοπή.
23. Ἡ Μπάτζσκη ἐπισκοπή.
24. Ἡ Μπουντούμσκη ἐπισκοπή.
25. Ἡ Σρόρνιτζσκη ἐπισκοπή.

ΠΕΡΙ ΤΗΣ ΤΡΙΤΗΣ ΠΑΤΡΙΑΡΧΙΑΣ

ΣΥΜΕΩΝ ΤΟΥ ΤΡΑΠΕΖΟΥΝΤΙΟΥ

ΥΠΟ

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΥ ΚΕΡΑΜΕΩΣ

Προσεκτικὴ ἀνάγνωσις τῆς ὑπὸ Κρουσίου τυπωθείσης «*πατριαρχικῆς Κωνσταντινουπόλεως ἱστορίας*» πείθει ἡμᾶς ὅτι ὁ οἰκουμενικὸς πατριάρχης Συμεὼν ὁ Τραπεζούντιος ἀνέβη τρὶς τὸν θρόνον τῆς ἀρχιεπισκοπῆς Κωνσταντινουπόλεως καὶ οὐχὶ δίς, ὡς σημειοῦσι μεταγενέστεροι συγγραφεῖς καταλόγων καὶ πινάκων. Ἐν τῇ *ἱστορίᾳ* ταύτῃ αἱ δύο πρῶται πατριαρχίαι τοῦ Συμεῶνος εἰσὶ πασίδηλοι, ἤτοι ὅτι διεδέξατο πρῶτον Μᾶρκον τὸν Ξυλοκαράβην καὶ δεύτερον τὸν ἀπὸ Φιλιππουπόλεως Διονύσιον τὸ πρῶτον πατριαρχήσαντα. Ἡ τρίτη πατριαρχία σημειοῦται ἀσαφῶς· ἀλλ' ὁπωσδήποτε κατὰ τὰ ἐν τῇ *Τουρκογραικίᾳ* γραφόμενα εἶναι γεγονὸς ἀναμφισβήτητον. Εἰς τὸ συμπέρασμα τοῦτο κατέληγον πρὸ πενταετίας ἀναγινώσκων τὴν *Τουρκογραικίαν*. Ἐν ἔτει 1886 ἐκδοὺς ἄγνωστον τέως ἔγγραφον τοῦ Συμεῶνος, οὐτινος εἶδον αὐτὸ τὸ πρωτότυπον, ἠρκέσθην νὰ ὑποδείξω ὅτι πρέπει νὰ ἀναζητηθῇ καὶ τρίτη πατριαρχία τοῦ Συμεῶνος. Ἡ σημείωσίς μου ἐξέφραζεν ἐν ἀμφιβολίᾳ ἁπλῆν ὑπόνοιαν, διότι ἡ περὶ τοῦ πράγματος γνώμη μου ἐπηρεάζετο ἐκ τῶν εἰδήσεων τῶν μεταγενεστέρων συγγραφέων καὶ διότι ὁ τόπος τῆς σημειώσεως δὲν ἐπέτρεπε νὰ ἐκταθῶ εἰς θέμα ἄσχετον πρὸς τὸν σκοπὸν τῆς ὅλης διατριβῆς μου (1). Ἐπαναλαμβάνω δὲ σήμερον τὸ μικρὸν τοῦτο θέμα συστηματικῶς.

